Φανέντες ἧλοι βασιλεῖ τοῦ μὲν κράτ(ους)
ἄγαλμα κεῖνται· τοῦ χαλινοῦ δὲ κράτος.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτυρες, Ἰουλιανὸς καὶ Εὔβουλος, ξίφει τελειοῦνται».

Δεῦρο ξίφει θάνωμεν Εὐβούλῳ λέγει,
Ἰουλιανὸς εἰσφέρων εὐβουλί(αν).

δ' «Μηνὶ τῷ αὐτῷ ζ'. Μνήμη τ(ῶν) ἁγίων μαρτύρων τ(ῶν) ἐπισκοπευσάντων ἐν Χερσῶνι· Ἐφραίμ· Βασιλέως· Εὐγενίου· Ἀγαθοδώρου· Ἐλπιδίου· Καπίτωνος, καὶ Αἰθερίου».

Μὴ τὴν κεφαλὴν τοῖς ἀγάλμασι κλίνων,
Ἐφραὶμ ἀγάλλῃ τῇ τομῇ ταύτην κλίνων.
Ἐφραὶμ ἑβδομάτῃ ξίφος ἔκτανεν ἀρχιερῆα.

Συρεὶς Βασιλεὺς χερσὶ δεισιδαιμόνων,
χεῖρας διαπτᾷ δεισιδαίμονος πλάνης.

Τριὰς σύναθλος τοῦ προφήτου τὸν λόγον,
εἰς μάστιγας δέδωκα τὸν νῶτον λέγει.

Ἀπῆρε χεῖρας εἰς προσευχὴν Καπίτων,
καὶ πρὸς Θ(εὸν) μετῆρεν ἐξάρας πόδας.

Ἐκ τοῦ ποταμοῦ πρὸς Θ(εὸ)ν χωρεῖς π(άτ)ερ,
τὸν ἐν ποταμῷ σαρκικῶς λελουμένον.

Ἀκολουθεῖ (φφ. 2β - 3β) τὸ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τῷ ἑξκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, Ἑρμωνος τοῦ ἁγιωτάτου ἐπισκόπου Ἱεροσολύμων, ἐν διαφόροις ἔθνεσιν ἐπισκόπους ἐξαποστείλαντος [. . .]

(φ. 3β) Τελ.: [. . .] ἤδη πρὸς Κ(ύριο)ν ἐπιστρέψαντας, μακαρίως τὸν βίον μετήλλαξε· τῇ εἰκοστῇ δευτέρᾳ τοῦ δεκεμβρίου μηνός.

«Τῇ αὐτ(ῇ) ἡμέρᾳ, οἱ ἅγιοι ἐπίσκοποι Τριμιθοῦν⟨τος⟩, Ἀρκάδιος καὶ Νέστωρ, ἐν εἰρή(νῃ) τελειοῦντ(αι)».

Τῆς Τριμιθοῦντος ποιμένες καλοὶ δύο,
ἐν τῇ καλῇ σκιρτῶσι τῆς Ἐδὲμ πόᾳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸς) ἡμῶν Παύλου τοῦ ἁπλοῦ».

Γῆθεν μεταστὰς πρὸς Θ(εὸ)ν Παῦλος λόγον,
τῆς ἁπλότητος πολλαπλᾶ στέφη λάβοι[1].

Ἀκολουθεῖ (φφ. 3β - 5α) τὸ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Παῦλος ὁ ἁπλοῦς προσαγορευθείς, γεωργὸς ἦν καὶ ἀγροῖκος καθ' ὑπερβολήν· ἄκακος δὲ καὶ ἄπλαστος τὴν γνώμην [. . .]

(φ. 5α) Τελ.: [. . .] καὶ θαυματουργὸς ἀποφανθείς· καὶ τὸν Θ(εὸ)ν ἀξί(ως) θεραπεύσας, ἀπῆλθε πρὸς τὰς αἰωνίους σκηνάς.

ε' «Μηνὶ τῷ αὐτ(ῷ) η'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας».

Καὶ σαρκὸς ἐξόριστος ὡς ἐκ π(ατ)ρίδος,
θεῖος Θεοφύλακτος, οὗ Θ(εὸ)ς φύλαξ.
Ἤλυθεν ὀγδοάτῃ Θεοφύλακτος Θ(εο)ῦ ἄγχι.

Ἀκολουθεῖ (φφ. 5α - 6α) τὸ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος τῶν ἀφ' ἡλίου ἀνατολῶν γνωριζόμενος, ἐν Κωνσταντινουπόλει παρεγένετο· καὶ Ταρασίῳ τῷ μεγάλῳ τῆς ὀρθοδοξίας λαμπτῆρι προσοικειωθεὶς [. . .]

(φ. 6α) Τελ.: [. . .] καὶ Μεθοδίου τοῦ ἁγιωτάτου π(ατ)ριάρχου, τὸ τίμιον σῶμα τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Θεοφυλάκτου, ἐκ τῆς ὑπερορίας ἀνακομίζεται, (καὶ) κατατίθεται ἐν Νικομηδείᾳ, ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι ναῷ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Παύλου Πλουσιάδος τοῦ ὁμολογητοῦ».

Σάλπιγξ σιωπᾷ, Παῦλος ὁ Πλουσιάδος,
σάλπιγγος ἠχὴν τὴν τελευταίαν μέν(ων).

1. λάβῃ cod.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος κατὰ τοὺς χρόνους τῶν εἰκονομάχων εὑρὼν τοὺς ἄφρονας κατὰ τῆς Χ(ριστο)ῦ ἐκκλησίας μαινομένους [. . .]
Τελ.: [. . .] ὅθεν καλῶς ἀνδρισάμενος, ἐν εἰρήνῃ τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρέθετο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), μνήμη τοῦ ἁγ(ίου) ἀποστόλ(ου) Ἑρμοῦ· οὗ μέμνηται ὁ ἀπόστολος Παῦλ(ος) ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ».

Ἑρμῇ θανόντι τῷ μαθητῇ Κ(υρίο)υ,
ἑρμῷον ἔμπνουν ἐκ λόγων διαγλύφω.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Δίων μαχαίρᾳ τελειοῦται».

Κἂν δεξιὰ σφάττῃ σε δεινὴ τοῦ πλάνου,
ἡ δεξιὰ στέφει σε δεσπότου Δίων.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), ὁ ὅσιος Δομέτιος ἐν εἰρήνῃ τελειοῦται».

Ὁ Δομέτιος τῆς τελευτῆς τὸ χρέος,
δι' ἐκβιβαστῶν ἐξέτισεν ἀγγέλων.

ς' (φ. 6β) «Μηνὶ τῷ αὐτῷ θ'. Μνήμη τῶν ἁγίων μεγάλων τεσσαράκοντα τοῦ Χ(ριστο)ῦ μαρτύρων· τ(ῶν) ἐν Σεβαστείᾳ τελειωθέντων τῇ λίμνῃ».

Πληροῦμεν ὑστέρημα σοῦ σ(ῶτ)ερ πάθους,
τεσσαράκοντα συντριβέντες τὰ σκέλη.
Ἀμφ' ἐνάτην ἐάγη σκέλε ἀνδρῶν τεσσαράκοντα.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ἐκ διαφόρων π(ατ)ρίδων ὄντες, ὑφ' ἑνὶ στρατεύματι ἐστρατεύοντο [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις, ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ· τῷ ὄντι πλησίον τοῦ χαλκοῦ Τετραπύλου.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Οὐρπασιανοῦ».
Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου, τοῦ ὁποίου σώζεται μόνον ἡ ἀρχή :

Ἄρτι τότε τὴν βασιλείαν Μαξιμιανὸς δυσσεβῶς ἐνδυσάμενος, τὴν περίοικον Νικομηδείας κατετυράννει, διάπυρος ἔκδικος τῶν εἰδώλων γενόμενος τούτου

ζ' [Μαρτίου ι'].
Συναξάριον ἀκέφαλον [Ἀναστασίου τοῦ εὐνούχου, γυναικὸς ὄντος].

Ἀρχ.: [γυ]ναικῶν συναναστρεφομένην, ἐκπλήττει πάντα νοῦν καὶ διάνοιαν· καὶ ἐν τούτοις ἀγωνισαμένη [. . .]
(φ. 7β) Τελ.: [. . .] καὶ τότε διηγήσατο ὁ γέρων τῷ μαθητῇ λεπτομερῶς τὸν βίον αὐτῆς.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), ὁ ἅγιος Μαρκιανός, ξύλοις θλασθείς, τελειοῦται».

Ἐθαύμασαν βροτοί σε θλασθέντα ξύλοις,
ἀμὴν λέγουσι[1] Μαρκιανὲ (καὶ) νόες.

1. λέγων σοι cod.

«Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ἐν τῷ κυρίῳ Πάσχα· μνήμη τῆς ἀκαθίστου, ἥτις εὐχαριστήριός ἐστιν ἑορτὴ τῆς ὑπεραγίας Θ(εοτό)κου· σωσάσης τὴν πόλιν ἐκ τῶν ἐθνῶν».

Ὕμνοις ἀύπνοις εὐχαρίστως ἡ πόλις,
τὴν ἐν μάχαις ἄυπνον ὑμνεῖ προστάτ(ιν).

η' «Τῷ αὐτῷ μη(ν)ὶ ια'. Μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Σωφρονίου ἀρχιεπισκόπου Ἱεροσολύμων».

Ἔσπευδε τηρεῖν καὶ κεραίαν τοῦ νόμου,
ὁ Σωφρόνιος, οὗ παρ' οὐ(ρα)νοῖς) γέρας[1].
Ἑνδεκάτῃ σαόφρων ἐδύσω Σωφρόνιος παρὰ τύμβον.

Ἀκολουθεῖ (φφ. 7β - 8β) τὸ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος, χώρας μὲν ἔφυ Φοινίκης τῆς λιβανοστεφάνου· πόλεως δὲ Δαμασκοῦ [. . .] (φ. 8β) Τελ.: [. . .] οὕτω καλῶς τε καὶ θεοφιλῶς αὐτός τε βιώσας, καὶ ἄλλους ἐκδιδάξας, καὶ στόμα Χ(ριστο)ῦ χρηματίσας ἐν εἰρήνῃ πρὸς αὐτὸν μεθίσταται.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), μνήμη τοῦ ἁγ(ίου) μάρτυρος Πιονίου πρεσβυτέρου».

Ὡς ἐγκρυφί(ως) ἄρτος ἐξωπτημένος,
καυθεὶς προσήχθη Πιόνιος Κ(υρί)ῳ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν πρεσβύτερος τῆς ἐν Σμύρνῃ ἁγίας τοῦ Θ(εο)ῦ ἐκκλησίας, κατὰ τοὺς καιροὺς Δεκίου τοῦ βασιλέως [. . .]
Τελ.: [. . .] ὕστερον δὲ παρὰ τῷ Κιντιλιανῷ τῷ ἀνθυπάτῳ γενόμενος, τὴν διὰ πυρὸς λαμβάνει τελείωσιν.

«Τῇ αὐτῇ ἡμέρᾳ, μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν, Γεωργίου τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ, ἐν τῷ Διιπίῳ».

Ἐν γειτόνων εἶ Γεώργιε κἀνθάδε,
κἀκεῖθεν οἶμαι, χριστομύστῃ παρθένῳ.

Ἀκολουθεῖ (φφ. 8β - 9α) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος καταλιπὼν γυναῖκα καὶ τέκνα καὶ συγγενεῖς, τ(ὴν) στενὴν ὁδὸν εἵλετο [. . .] (φ. 9α) Τελ.: [. . .] ἔτι (καὶ) νῦν πᾶσι διαμαρτύρονται τὰς εἰς αὐτοὺς γενομένας θαυματοποιΐας.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), μνήμη τ(ῶν) ἁγίων μαρτύρων Τροφίμου καὶ Θάλλου [γρ. Θαλλοῦ] τῶν ἐν Λαοδικείᾳ μαρτυρησάντων».

Ἀκολουθεῖ συναξάριον τῶν ἁγίων.

1. κέρας cod.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων Ῥώμης, ἡγεμονεύοντος Ἀσκληπιοῦ ἐν Λαοδικείᾳ, διωγμὸς γέγονε κατὰ τῶν χριστιανῶν [. . .]
(φ. 9β) Τελ.: [. . .] τὴν τῶν ἁγίων λειψάνων θήκην ἀναλαβόμενοι· καὶ εἰς τὴν ἑαυτῶν πόλιν διακομίσαντες, οὕτω Στρατονίκην λεγομένην πρὸ μιλίου ἐν τοῖς λατομείοις κατέθεντο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), μνήμη τ(ῶν) ἁγίων μαρτύρων· Ἄβδα ἐπισκόπου· Βενιαμὶν διακόνου, καὶ τ(ῶν) σὺν αὐτοῖς ἐν Περσίδι μαρτυρησάντων».

Ἄβδας ἐνισχύοντος ὑψίστου λόγου,
καθεῖλεν ἰσχὺν δυσσεβ(ῶν), τμηθεὶς κάραν.

Ἀθλητικῷ κλυστῆρι, τῷ πάλῳ λέγω,
πᾶν Βενιαμὶν ψυχικὸν κενοῖ βάρο(ς).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), οἱ ἅγιοι ἐννέα μάρτ(υ)ρ(ες), καλάμων ἐν τοῖς αὐτῶν ὄνυξι βληθέντ(ων), τελειοῦνται».

Ἐν τοῖς ὄνυξι καλάμοις δεδεμένοι,
σφᾶς μάρτυρας γράφουσιν ἄνδρες ἐννέα.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), οἱ ἅγιοι ἕτεροι πολλοί, ὑπὸ μυῶν καὶ γαλῶν συνεμβληθέντες ἐσθιόμενοι, τελειοῦνται».
«Τῇ αὐτῇ ἡμέρ(ᾳ), ἡ ἐν Κωνσταντινουπόλει ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου».

Κομίζεταί τις ὄλβος ὀλβίᾳ πόλει,
Ἐπιμάχου τὸ σῶμα τοῦ τρισολβίου.

θ′ «Μηνὶ τῷ αὐτῷ ιβ′. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Θεοφάνους τοῦ Ὁμολογητοῦ τοῦ κειμένου ἐν τῷ μεγάλῳ ἀγρῷ».

Θεόφανες φάνηθι πιστ(οῖς) προστάτης,
τιμῶσι πιστῶς σὸν μετ᾽ εἰρήνης τέλος.
Δωδεκάτῃ φθινύθοντος, ἀπῆρε βίου Θεοφάνης.

Ἀκολουθεῖ (φφ. 9β - 10β) τὸ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος π(ατ)ὴρ ἡμῶν, ἦν Ἰσαὰκ υἱός, μ(ητ)ρ(ὸ)ς δὲ Θεοδότης· τοῦ οὖν π(ατ)ρ(ὸ)ς αὐτοῦ τελευτήσαντος [. . .]
(φ. 10β) Τελ.: [. . .] πρὸς Κ(ύριο)ν ἐκδημεῖ, τῷ τῆς ὁμολογίας στεφάνῳ κατακοσμούμενος· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις, ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν τῇ ὑπ᾽ αὐτοῦ συστάσῃ κατὰ τὴν Σιγριανὴν μονῇ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), οἱ ἅγιοι ὑπὸ μυῶν καὶ γαλῶν ἐν τῷ λάκκῳ ἐσθιόμενοι, τελειοῦντ(αι)».

Ζώων ταμεῖα μαρτύρων τὰ σαρκία,
μῦς ἐκτρέφοντα καὶ γαλᾶς ἐν τῷ βόθρῳ.

Ἀκολουθεῖ (φφ. 10β - 11α) συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι, ὑπῆρχον ἐν Περσίδι, βασιλεύοντος Ἰσδιγέρδου Περσῶν· Ῥωμαίων δὲ Θεοδοσίου τοῦ μικροῦ [. . .]
(φ. 11α) Τελ.: [. . .] καὶ κατὰ τοῦ σφικτῆρος αὐτοῦ πάλου ἐμβληθέντος, οὕτω τὴν ψυχὴν αὐτοῦ παρέθετο εἰς χεῖρας Θ(εο)ῦ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Γρηγορίου πάπα Ῥώμης».

Ὁ Γρηγόριος ἐκ μέσου μὲν τοῦ βίου,
ἐν τῷ μέσῳ δὲ τοῦ χοροῦ τῶν ἀγγέλων.

Ἀκολουθεῖ (φ. 11α-β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως· πρῶτον μὲν μοναχὸς καὶ ἡγούμενος γεγονὼς [. . .]
(φ. 11α) Τελ.: [. . .] οὗτός ἐστιν ὁ νομοθετήσας · ὅπερ κρατεῖ μέχρι τῆς σήμερον παρ' αὐτοῖς.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), οἱ ἅγιοι ἐννέα μάρτυρες, πυρὶ τελειοῦντ(αι)».

Πρὸς τὴν κάμινον θαρσύνει τοὺς ἐννέα,
θείου πόθου κάμινος ἐκκεκαυμένη.

(φ. 12α) «Τῇ αὐτῇ ἡμέρ(ᾳ), ὁ ὅσιος Φινεές, ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ἔστη Φινεὲς ἀλλὰ τοῦ Θ(εο)ῦ πέλας,
ἡμῖν ἱλασμῷ ψυχικὴν θραῦσιν λύων.

ι' «Μηνὶ τῷ αὐτῷ ιγ'. Ἡ ἐν Κωνσταντινουπόλει ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμῶν Νικηφόρου π(ατ)ριάρχου Κωνσταντινουπόλεως».

Νίκης ἑορτὴν ἡ πόλις Νικηφόρε,
δοχὴν ἄγει σοῦ λειψάνου νικηφόρου.
Χοῦς τρισκαιδεκάτῃ Νικηφόρου ἄστει ἐσήχθη.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Μετὰ τὴν καθαίρεσιν Ἰαννῆ τοῦ παρανόμου, Μεθόδιος ὁ ἁγιώτατος εἰς τὸν ἀρχιερατικὸν θρόνον ἀνενεχθεὶς [. . .]
Τελ.: [. . .] ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων κατατίθενται, τῇ τρισκαιδεκάτῃ τοῦ μαρτίου, ἐν ᾗ καὶ πρὸς τὴν ἐξορίαν αὐτοῦ ἀπηνέχθη.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μάρτυρος Σαβίνου».

Ῥεῖθρον Σκαμάνδρου τῆς ἐλέγξεως ὕδωρ,
εὐανδρίας ἔλεγχος ἦν τοῦ Σαβίνου.

(φ. 12β) Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐξ Ἑρμουπόλεως τῆς κατ' Αἴγυπτον, κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ τοῦ βασιλέως [. . .]
Τελ.: [. . .] καὶ πρὸς τούτοις λίθῳ προσδεθείς, κατὰ τοῦ ποταμοῦ Σκαμάνδρου ἀφίεται, καὶ τὸν τοῦ μαρτυρίου κομίζεται στέφανον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγίων μαρτύρων, Ἀφρικανοῦ, Πουπλίου καὶ Τερεντίου· τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Πετρίῳ».

Συμμάρτυρες τρεῖς ὧν διὰ ξίφος τέλος,
ἴσα στεφάνοις τοῖς ἰάμβοις χρὴ στέφειν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), ὁ ἅγιος μάρτυς Ἄβιβος ὁ ἐξ Ἑρμουπόλεως, λίθῳ προσδεθεὶς καὶ ἐν ποταμῷ ῥιφείς, τελειοῦται».

Βληθεὶς Ἄβιβος ἐν ποταμῷ σὺν λίθῳ,
ἐκπλεῖ ποταμὸν συρφετώδη τοῦ βίου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία μάρτυς Χριστῖνα ἡ ἐκ Περσίδος, μαστιζομένη τελειοῦται».

Μάστιξ τὸ τύπτον, σὰρξ τὸ πάσχον Χριστίνης,
Χ(ριστο)ῦ χάριν χέουσα κρουνοὺς αἱμάτων.

ια΄ «Μηνὶ τῷ αὐτῷ ιδ΄. Μνήμη τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου τοῦ ἐν Πύδνῃ».

Μὴ τοὺς στεφάνους ζημιωθῆναι φέρων,
φέρει κεφαλῆς Ἀλέξανδρος ζημίαν.
Κόψαν Ἀλεξάνδροιο κάρην δεκάτῃ γε τετάρτῃ.

Ἀκολουθεῖ (φφ. 12β - 13α) σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὡς ἐν σκοτομήνῃ τῆς πλάνης ἀναλάμψας, οἷά τις πολύφωτος ἀστήρ, τὴν μανίαν τῶν δυσσεβῶν διήλεγξε [. . .]
(φ. 13α) Τελ.: [. . .] ἅπασαν γὰρ νόσον πονηρὰν ἀπολυμαίνει, ἀπὸ τῶν προσιόντων αὐτοῦ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Βενεδίκτου».

Ἄγξας λογισμοῖς ὡς χαλινοῖς πᾶν πάθος,
ζωῆς χαλινοὺς Βενέδικτος ἐκπτύ(ων).

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐκ τῆς Ῥωμαίων γῆς· ἐκ χώρας Οὐρσίας λεγομ(ένης)· καταλείψας δὲ τὴν π(ατ)ρικὴν περιουσίαν [. . .]
Τελ.: [. . .] τὴν ἐσομένην λαμπρότητα καὶ δορυφορίαν, ἐν τῷ μέλλειν τὸν ὅσιον πρὸς Κ(ύριο)ν ἐκδημεῖν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ ὁμολογητ(οῦ) Εὐσχήμονος ἐπισκόπου Λαμψάκου».

Πρὸ τοῦ θανεῖν Εὐσχημος εἶπεν ἂν Παῦλος,
εὐσχημόν(ως) ὥδευσ(εν) ὡς ἐν ἡμέρᾳ».

Ἀκολουθεῖ (φ. 13α-β) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἐκ βρέφους καλῶς αὐξηθείς, καὶ εἰς ἄνδρα τέλειον φθάσας, ὤφθη ναὸς Θ(ε)οῦ [. . .]
(φ. 13α) Τελ.: [. . .] θαύμασιν ἀπείροις τοὺς πιστῶς αὐτῷ προσιόντας εὐεργετῶν· καὶ τὴν ῥῶσιν χαριζόμενος, ὑπὸ τοῦ Θ(εο)ῦ καταστέφεται.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγίων μαρτύρων· Σατύρου· Σατορνίου· Λευκάτου· Περπετούας, καὶ Φιλικιτάτης· μαρτυρησάντων ἐν Ῥώμῃ».

ιβ' «Μηνὶ τῷ αὐτῷ ιε'. Μνήμη τοῦ ἁγίου μάρτυρος Ἀγαπίου, καὶ τ(ῶν) σὺν αὐτ(ῷ)· Πλησίου· Τιμολάου· Ῥωμύλου· Ἀλεξάνδρων δύο, καὶ Διονυσί(ων) δύο».

Μετὰ τριῶν Πλησίος τμηθεὶς ξίφει,
Θ(εο)ῦ σὺν αὐτοῖς, ἵσταται νῦν πλησίον.

Ὡς Ἀλεξάνδροιν κλῆσις· ἐκτομὴ στέφος,
τὰ πάντα κοινά, κοινὰ καὶ Διονύσοιν.
Πέμπτῃ καὶ δεκάτῃ τμήθη ὁ Δίων ἅμ' Ὀλυμπᾷ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ· καὶ ὁ μὲν ἅγιος Ἀγάπιος ἀπὸ τῆς πόλεως Γάζης [. . .]
Τελ.: [. . .] ξίφει τὰς κεφαλὰς αὐτῶν ἀποτμηθῆναι προσέταξεν.

(φ. 14α) «Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγ(ίου) || μάρτυρος Νικάνδρου, τοῦ Αἰγυπτίου».

Νίκανδρον ἐκδέρουσιν ὥσπερ ἀρνίον,
χεῖρας λαβόντ(ες) οἱ μάγειροι τῆς πλάν(ης).

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Καὶ οὗτος ὁ ἅγιος, ἐπὶ τῆς βασιλείας ἦν Διοκλητιανοῦ· τῇ εὐσεβείᾳ δὲ συντεθραμμένος [. . .]
Τελ.: [. . .] τὴν δορὰν ἀφαιρεθείς, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο.

«Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Μενίγνου τοῦ Κναφέως».

Κάραν Κναφεῦ Μένιγνε τμηθεὶς ἐκ ξίφους,
κνάπτεις σεαυτὸν κἂν ῥύπους εἶχες πλύνει.

Ἀκολουθεῖ (φφ. 14α - 15β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Ἐπὶ τῆς βασιλείας Δεκίου, διωγμὸς μέγας γέγονε κατὰ τῶν χριστιανῶν· τότε ὁ τὴν ἐπαρχίαν τῆς Ἀσίας ἐγκεχειρισμένος [. . .]
(φ. 15β) Τελ.: [. . .] ὁ μάρτυς ἐν αὐτῷ τῷ τόπῳ κατατεθῆναι τὸ τίμιον αὐτοῦ σῶμα ἐπέσκεψεν· εἰς δόξαν [. . .] τῶν αἰώνων, ἀμήν.

ιγ' «Μηνὶ τῷ αὐτῷ ις'. Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρ(ος) Πάπα».

Δεσμῇ πέδαις εἰς δένδρον, ᾧ προβὰς Πάπα,
Ζακχαῖος οἷα Χ(ριστὸ)ν ἐκπνεύσας βλέπεις.
Δένδρου ἐπὶ κλώνοισι δέθης δεκάτῃ, Πάπα, ἕκτῃ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ναυατοῦσαν ὁρῶν τὴν οἰκουμένην, παραστὰς τῷ ἄρχοντι καὶ τοῦτον καταισχύνας [. . .]
Τελ.: [. . .] καὶ ἡ Λυκαόνων δὲ τὸ λείψανον αὐτοῦ κατέχουσα, γάννυται.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), τοῦ ἀποστόλου μνήμη Ἀριστοβούλου, ἀδελφοῦ Βαρνάβα τοῦ ἀποστόλου».

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἀποστόλου.

(φ. 16α) Ἄρχ.: Οὗτος εἷς τῶν ἑβδομήκοντα μαθητῶν· ἠκολούθει δὲ τῷ ἁγίῳ ἀποστόλῳ Παύλῳ [. . .]

Τελ.: [. . .] καὶ πρεσβυτέρους καὶ διακόνους ἐν αὐτῇ καταστήσας, ἐτελειώθη.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν καὶ θαυματουργοῦ Ἀνίνα».

Σορῷ καλυφθεὶς θαυματουργὸς Ἀνίνας,
οὐ συγκαλύπτει τὴν χάριν τῶν θαυμάτων.

Ἀκολουθεῖ (φφ. 16α - 18α) συναξάριον τοῦ ὁσίου.

Ἄρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Ἀνίνας, ἐκ νεαρᾶς ἡλικίας ἄνευ μαθήσεως τινός, τὴν πραότητα καὶ ἡσυχίαν ἀγαπήσας [. . .]

(φ. 18α) Τελ.: [. . .] εὐλόγησεν αὐτούς· καὶ ἐπιζήσας ἡμέρ(ας) ἑπτά, ἀπῆλθε πρὸς Κ(ύριο)ν· κατὰ τὴν ἑξκαιδεκάτην τοῦ μαρτίου μηνός.

«Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Ἰω(άννης) ὁ ἐν Ῥουφινιαναῖς, ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Τιμῶμεν Ἰω(άννου) συνεκδημίαν,
ἐνδημίαν δὲ πρὸς Θ(εὸ)ν μᾶλλον φάναι.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ῥωμανὸς ὁ ἐν τῷ Παρίῳ, ξίφει τελειοῦται».

Τὸ πρὸς σὲ φίλτρον εἰς αἰῶνας δεικνύει,
ὁ Ῥωμανός σου σ(ῶτ)ερ ὁρμῶν πρὸς ξίφος.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι δέκα μάρτυρες οἱ ἐν Φοινίκῃ, ξίφει τελειοῦνται».

Χορὸν δέκανδρον μαρτύρων διὰ ξίφ(ους),
ἀνδροκτόνοι κτείνουσι μαρτυροκτόνοι[1].

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἀλεξανδρίων, πάπας Ῥώμης, ξίφει τε(λειοῦται)».

Ῥώμης παλαιᾶς Ἀλεξανδρίων πάπας,
Ἐδὲμ κατοικεῖ τὴν παλαιὰν π(ατ)ρίδα.

ιδ´ «Μηνὶ τῷ αὐτῷ ιζ´. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀλεξίου τοῦ ἀν(θρώπ)ου τοῦ Θ(εο)ῦ».

Ἄν(θρωπ)ος ἐν γῇ τοῦ Θ(εο)ῦ κληθεὶς μόνος,
ἕξεις τι καινόν, κἂν πόλῳ μόνος π(άτ)ερ.
Ἑβδομάτῃ δεκάτῃ τε Ἀλέξιε δάμας κῆρ.

1. μαρτύρων κτόνοι cod.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐκ Ῥώμης· π(ατ)ρ(ὸ)ς μὲν Εὐφημιανοῦ π(ατ)ρικίου· καὶ μ(ητ)ρ(ὸ)ς Ἀγλαΐδος· πλουσίων πάνυ καὶ εὐγενῶν [. . .]
(φ. 18β) Τελ.: [. . .] μύρα εὐώδη καὶ ἰάματα τοῖς προσιοῦσιν ἀεννάως προχέον.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς μετὰ φιλαν(θρωπ)ίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ· κ(α)τὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ βασιλέως».
«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος μάρτυς Παῦλος, ὑπὲρ τῶν ἁγίων εἰκόνων, πυρὶ τελειοῦται».

Ζῆλος διεξέκαυσε Παῦλον εἰκόνων,
ᾧ φλὸξ δι' αὐτὰς ἐξεκαύθη καμίνου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Θεοστήρικτος ὁ Ὁμολογητής, ἐν εἰρήνῃ τελειοῦται».

Στήριγμα πιστοῖς καὶ μεταστὰς ἐκ βίου,
τὰς σὰς Θεοστήρικτε πρεσβείας δίδου.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχα ἀνάστασις τοῦ ἁγίου καὶ δικαίου Λαζάρου».

Θρηνεῖς Ἰ(ησο)ῦ, τοῦτο θνητῆς οὐσίας,
ζωοῖς φίλον σου, τοῦτο θείας ἰσχύος.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) τοῦ ἁγίου μάρτ(υ)ρο(ς) Μαρίνου».
Ἀκολουθεῖ σύντομον συναξάριον.

(φ. 19α) Ἀρχ.: Οὗτος χριστιανὸς ὢν καὶ τοὺς εἰδωλολάτρας || ὁρῶν θύοντας, οὐ μόνον ἀν(θρώπ)οις ἀλλὰ καὶ ἑρπετοῖς [. . .]
Τελ.: [. . .] καὶ παρ' ἐκείνου πλεῖστα βασανισθείς, τὴν διὰ ξίφους δέχεται τελευτήν.

ιε' «Μηνὶ τῷ αὐτ(ῷ) ιη'. Μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν), Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων».

Εἴσελθε κέρδος ἐκ ταλάντου προσφέρ(ων),
εἰς τὴν χαρὰν Κύριλλε τοῦ σοῦ Κ(υρίο)υ.
Ὀγδοάτῃ δεκάτῃ θάνατος μέλας εἷλε Κύριλλον.

Ἀκολουθεῖ (φ. 19α-β) συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος γονέων μὲν ἦν εὐσεβῶν καὶ τὴν ὀρθὴν πρεσβευόντων πίστιν [. . .]
(φ. 19β) Τελ.: [. . .] γενείῳ τὰς σιαγόνας λευκῷ δασυνόμενος, διχῇ κατὰ τὸν πώγωνα διῃρημένῳ· ἀγροίκῳ τὸ πᾶν ἦθος προσεοικώς.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγίων μαρτύρων· Τροφίμου καὶ Εὐκαρπίωνος· τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων».
Ἀκολουθεῖ (φφ. 19β - 20β) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τοῦ διωγμοῦ τῶν χριστιανῶν ἐν Νικομηδείᾳ παφλάζοντος, πάντας τοὺς χριστιανοὺς οἱ συλλαμβάνοντες κατεῖχον ἐν ταῖς φυλακαῖς [. . .]

(φ. 20β) Τελ.: [. . .] καὶ τούτου γενομένου, οἱ ἅγιοι τῆς καμίνου ἐπιβεβηκότες, τὸν στέφανον ἐν αὐτῇ τοῦ μαρτυρίου ἐνεδύσαντο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μύριοι μάρτυρες, ξίφει τελειοῦνται».

Τμηθέν(τες) ἄνδρες μύριοι τοὺς αὐχένας
ἀπῆλθον ἔνθα, μυριόμματοι νόες.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς ἀδελφῆς τοῦ ἁγίου Λαζάρου Μαρίας, ὅτε τοὺς πόδας τοῦ Χ(ριστο)ῦ νάρδον ἀλείψασα, ταῖς θριξὶν ἐξέμασσεν».

Τιμᾷ γυνή σε Χ(ριστ)ὲ ναρδαλειφίαις,
ἧ μάκτρον ἡ θρίξ, σοὺς ἀπεκμάττον πόδας.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχα βαϊοφόρος».

Ἄνω σε κόλπος π(ατ)ρικὸς σ(ῶτ)ερ φέρει,
κάτω δὲ πῶλος, ὢ πόσον κενοῖ πόδε.

ις´ «Μη(νὶ) τῷ αὐτῷ ιθ´. Μνήμη τ(ῶν) ἁγίων μαρτύρων, Χρυσάνθου καὶ Δαρείας».

Κἂν ἐμπνέωσι ζῶντες εἰσδύντες βόθρον,
ζῶσι Χρύσανθος ἐν πόλῳ καὶ Δαρεία.
Χῶσαν συζυγίην, δεκάτῃ ἐνάτῃ, ὁμόλεκτρον.

Ἀκολουθεῖ (φφ. 20β - 21α) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Νουμεριανοῦ τοῦ βασιλέως· ἦν δὲ ὁ μὲν Χρύσανθος π(ατ)ρ(ὸ)ς συγκλητικοῦ [. . .]

(φ. 21α) Τελ.: [. . .] καὶ ἄνωθεν γῆς ἐπιτεθείσης, κατεχώσθησαν· ἔνθα καὶ τὸ μακάριον τέλος ἐδέξαντο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Κλαύδιος ὁ τριβοῦνος ἐν τῇ θαλάσσῃ βληθεὶς τε(λειοῦται)».

Φυγὼν θάλασσαν Κλαύδιος τὴν τῆς πλάνης,
ἔνδον θαλάσσης βάλλεται παρὰ πλάνων.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία μάρτυς Ἱλαρία, ἡ τοῦ Κλαυδίου σύζυγος, ξίφει τελειοῦτ(αι)».

Ἱλαρία τμηθεῖσα τὴν κάραν ξίφει,
Θ(εο)ῦ πρόσωπον ἱλαρώτατον βλέπει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτ(υ)ρ(ες) Ἰάσων καὶ Μαῦρος οἱ υἱοὶ αὐτ(ῶν), ξίφει τελειοῦντ(αι)».

Σὺν αὐταδέλφῳ τέμνεται Μαύρῳ κάραν,
ἀδελφὰ τούτῳ συμφρονήσας Ἰάσων.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μ(άρτυ)ρ(ος) Παγχαρίου».

(φ. 21β) Ὁ Παγχάριος πᾶ||σαν ἣν πλουτῶν χάριν,
ὃν πρὸς τομὴν ἤλειψ(εν) ἡ Θ(εο)ῦ χάρ(ις).

Ἀκολουθεῖ (φφ. 21β - 22β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Βασιλεύοντος Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, πᾶσα μὲν εἰδωλικὴ πλάνη ἐπεπλήρωτο [. . .]
(φ. 22β) Τελ.: [. . .] ἀπετμήθη τὴν κεφαλὴν ὁ τοῦ Χ(ριστο)ῦ μάρτυς Παγχάριος· κατὰ τὴν ἐννεακαιδεκάτην τοῦ μαρτίου μηνός, ἐν Νικομηδείᾳ.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι· Διόδωρος πρεσβύτερος· (καὶ) Μαριανὸς διάκονος· σπηλαίῳ κλεισθέντες, τελειοῦντ(αι)».

Ὡς βῆμα τὸ σπήλαιον ἔνδον γὰρ φέρει,
θύτην τοῦ Χ(ριστο)ῦ, καὶ σὺν αὐτῷ λευΐτην.

ιζ´ «Μη(νὶ) τῷ αὐτῷ κ´. Μνήμη τ(ῶν) ἁγίων μαρτύρων γυναικῶν ἐν Ἀμινσῷ. Ἀλεξανδρίας· Κλαυδίας· Εὐφρασίας· Ματρώνης· (φ. 22β) || Ἰουλιανῆς· Εὐφημί(ας), καὶ Θεοδώρας».

Δηλοῖ γυναικ(ῶν) τῶν πεπυρπολημένων,
ἀριθμὸς ἑπταπάρθενος τῶν παρθένων.
Ἔνδοθι πυρκαϊᾶς βάλον εἰκάδι ἑπταγύναικον.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Αὗται ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ τοῦ δυσσεβοῦς· ὑφ᾽ οὗ διωγμοῦ κινηθέντος μεγάλου κατὰ τῶν χριστιανῶν [. . .]
Τελ.: [. . .] καὶ τελευταῖον εἰς κάμινον ἐμβληθεῖσαι, παρέδωκαν τὰς ἑαυτῶν ψυχὰς τῷ Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ὁσίων π(ατέ)ρων ἡμ(ῶν), τῶν ἀναιρεθέντων ὑπὸ τ(ῶν) βαρβάρων ἐν τῇ μονῇ τοῦ ἁγ(ίου) Σάβα».

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν ὁσίων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι π(ατέ)ρες ἐκ διαφόρων τόπων συναθροισθέν(τες) καὶ τῇ μονῇ τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Σάβα προσκαθεζόμενοι [. . .]
Τελ.: [. . .] οἱ δὲ ὅσιοι εὐχαριστοῦντες, παρέδωκαν τὰς ἁγίας αὐτῶν ψυχὰς τῷ Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ ὁμολογητοῦ Νικήτα ἐπισκόπου Ἀπολλωνιάδος».

Ἀκολουθεῖ (φ. 23α-β) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις θεοφόρος π(ατ)ὴρ ἡμῶν καὶ ὁμολογητής, ἐν τῷ καιρῷ τῶν εἰκονομάχων, ὑπῆρχεν ἐπίσκοπος Ἀπολλωνιάδος [. . .]
Τελ.: [. . .] ἐφ᾽ οἷς δεινῶς νοσήσας, παρέθετο τὴν ἁγίαν αὐτοῦ ψυχὴν τῷ Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτ(υς) Ῥοδιανός, ξίφει τελειοῦται».

Ὁ Ῥοδιανὸς ὡς ἐρυθρόν σοι ῥόδον,
Χ(ριστ)ὲ προσήχθη τῇ τομῇ βεβαμμένος.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Ἀκύλας ὁ ἔπαρχος, ξίφει τελειοῦτ(αι)».

Ἄμωμον ἱερεῖον ὤφθης Ἀκύλα,
τυθεὶς ἀμώμῳ δεσπότῃ διὰ ξίφους.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Λολλίων, πυγμαῖς βαλλόμενος, τελειοῦται».

Ὁ Λολλίων ἔστηκε τὰς πυγμὰς φέρων,
καὶ μὴ στεναγμὸν μηδὲ μυγμὸν ἐκφέρων.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Μανουὴλ ξίφει τελειοῦτ(αι)».

Ξίφει χεθήτω, κἂν κοτύλη, φησί μοι,
ὁ Μανουὴλ πέφυκεν αἵματος μία.

ιη΄ «Μη(νὶ) τῷ αὐτῷ κα΄. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Βυρίλλου ἐπισκόπου Κατάνης».

Διπλᾶ θανὼν Βύριλλος εὕρατο στέφη,
ὡς κυριεύσας καὶ παθῶν καὶ δαιμόνων.

Ἀκολουθεῖ (φφ. 23β - 24α) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἐξ Ἀντιοχείας ἕλκων τὸ γένος, τῷ ἀποστόλῳ Πέτρῳ μαθητευθεὶς [. . .]
(φ. 24α) Τελ.: [. . .] ἰάματα παρέχων τοῖς αὐτῷ μετὰ πίστεως προσιοῦσι μέχρι τῆς σήμερον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῶν ἁγί(ων) μαρτύρων· Φιλήμονος καὶ Δομνίνου».

Τμηθεὶς Φιλήμων, Δομνῖνον τὸν σὸν φίλον,
φιλεῖν κεφαλῆς ἐκτομὴν ἀπειργάσω.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐκ τῆς μεγαλοδόξου πόλεως Ῥώμης· ἐπὶ δὲ τῶν καιρῶν τοῦ διωγμοῦ ἀπιόντες ἐν Ἰταλίᾳ [. . .]
Τελ.: [. . .] καὶ εἰς φυλακὴν ἀπορρίπτονται· ἔπειτα ἐκβληθέντες, τὴν διὰ ξίφ(ους) δέχονται τελευτήν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἐν ἁγί(οις) π(ατ)ρ(ὸ)ς ἡμῶν Θωμᾶ π(ατ)ριάρχου Κωνσταντινουπόλεως».

Ζωὴν ὁ Θωμᾶς ἐκλιπὼν μετρουμένην,
ζωὴν πρεπόντως εὗρεν οὐ μετρουμένην.

Ἀκολουθεῖ (φ. 24α-β) σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Θωμᾶς διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν καὶ τὴν ἄκραν σύνεσιν [. . .]
(φ. 24β) Τελ.: [. . .] καὶ τὰ ὀρθόδοξα δόγματα κρατύνας· καὶ τὸ ποίμνιον καλῶς καὶ θεαρέστως ποιμάν(ας), ἐν εἰρήνῃ ἐκοιμήθη.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Σεραπίων ὁ ἐλεήμων· ὁ ὑπάρχων ἀπὸ Σιδῶνος, ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Δοὺς πάντα χερσὶν ἐνδεῶν Σεραπίων,
τέλος δίδωσι καὶ τὸ πν(εῦμ)α Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς καταχεάσης γυναικὸς τὸ μύρον εἰς τὴν κεφαλὴν τὸ Χ(ριστο)ῦ· ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ».

Γυνὴ βαλοῦσα σώματι Χ(ριστο)ῦ μύρον,
τὴν Νικοδήμου προὔλαβε σμυρναλόην.

ιθ′ «Μη(νὶ) τῷ αὐτ(ῷ) κβ′. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Βασιλείου».

Σώαν προφήτης εἶπεν ἀλγεῖν κοιλίαν,
τετμημένην δέ, μάρτυς ἀλγεῖν οὐκ ἔφη.
Εἰκάδι δευτερίῃ Βασίλειος ἐτμήθη σούβλαις.

Ἀκολουθεῖ (φφ. 24β) συναξάριον τοῦ μάρτυρος, κολοβόν, διότι μετὰ τὸ φύλλον 24 ἔχουν ἐκπέσει τέσσαρα φύλλα.

Ἀρχ.: Οὗτος ὑπῆρχεν, ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου· (καὶ) Σατορνίνου ἡγεμόνος Ἀγγύρας [. . .]
Τελ.: [...] λῶρον ἐναποσπάσας ὁ ἀδάμας, ἔρριψε κατὰ τοῦ προσώπου τοῦ τυράννου· ὁ δέ,

κ′ (φ. 25α) [Μαρτίου κδ′].
Ἀκέφαλον συναξάριον (φ. 25α-β) τοῦ ἱερομάρτυρος Ἀρτέμωνος, πρεσβυτέρου Λαοδικείας.

Ἀρχ.: διετέλεσα ἔτη διάκονος Χ(ριστο)ῦ, τὰ ἱερὰ ὑπαναγινώσκ(ων) εὐαγγέλια· καὶ τριακοντατρεῖς πληρῶ πρεσβύτερος· διδάσκων [. . .]
(φ. 25β) Τελ.: [. . .] καὶ ἁρπαγεὶς ὑπὸ θείου ἀγγέλου, ἀπεκατέστη ἐν ᾧ τόπῳ ἐχρηματίσθη· πάμπολλα σὺν Θ(ε)ῷ ἐκεῖ σημεῖα πεποιηκὼς καὶ πολλοὺς φωτίσας καὶ πρὸς Θ(εὸ)ν ὁδηγήσας· ὕστερον κρατηθείς, ἀπετμήθη τὴν κεφαλήν· καὶ ἀπῆλθε πρὸς τὰς αἰωνίους μονάς.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιο(ς) Ζαχαρί(ας), ἐν εἰρήνῃ τελειοῦται».

Χ(ριστ)ῷ πρὸς ἰσχὺν ἐξωμοιώθης π(άτ)ερ,
υἱῷ Θ(εο)ῦ σύγκληρος ἐκστὰς γῆς γίνῃ[1].

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ὀκτὼ μάρτυρες οἱ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης, ξίφει τελειοῦνται».

Στρατὸς ὀκτάριθμος ἐτμήθη φάλαγξ,
τοῦ πρὶν περιτμηθέντο(ς) ὀκταημέρου.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Μαρτῖνος ὁ Θηβαῖος, ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Καλῷ τραφεὶς κάλλιστε γήρει Μαρτῖνε,
θανὼν θανοῦσι προστίθεσαι[2] π(ατ)ράσι.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ παρὰ τῆς κουστωδίας ἀσφάλεια τοῦ ἁγίου τάφου τοῦ Χ(ριστο)ῦ».

1. γένῃ cod. 2. προστίθησι cod.

Μάτην φυλάττεις τὸν λίθον κουστωδία,
οὐ γὰρ καθέξει τύμβος αὐτοζωΐαν.

κα' «Μηνὶ τῷ αὐτῷ κε'. Ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγί(ας) δεσποίνης ἡμῶν Θ(εοτό)κου [...]».

(φ. 26α) Ἤγγειλεν υἱὸν ἄγγελος τῇ παρθένῳ,
π(ατ)ρ(ὸ)ς μεγίστης ἄγγελον βουλῆς μέγαν.
Γήθεο τῇ Μαρίῃ ἦφατ' ἄγγελος εἰκάδι πέμπτῃ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ἑορτῆς.

Ἀρχ.: Ἡ ἀνάμνησις τοῦ Εὐαγγελισμοῦ τῆς [. . .] Θ(εοτό)κου, ὅτε τὸ ἀπ' αἰῶνος ἄρρητ(ον) καὶ ἀγγέλοις ἄγνωστον μυστήριον [. . .]

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), ἡ ἐν τῷ κυρίῳ Πάσχα Ἀνάστασις τοῦ (Κυρίο)υ ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ».

Χ(ριστὸ)ς κατελθὼν πρὸς πάλην ᾅδου μόνος,
πολλὰ λαβὼν ἀνῆλθε τῆς νίκης σκῦλα.

κβ' «Μηνὶ τῷ αὐτ(ῷ) κς'. Τῇ ἐπαύριον τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, σύναξιν ἐπιτελοῦμεν τοῦ ἱεροῦ καὶ θείου Γαβριὴλ [. . .]».

Τὸν σὴν ἀπαγγείλαντα σάρκωσιν νόα,
τιμῇ πρεπούσῃ πᾶσα σὰρξ τιμᾷ λόγε.
Εἰκάδι ἀμφ' ὕμν(ους), Γαβριὴλ κτίσιν ἕκτῃ ἐγείρει.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων εἴκοσι ἓξ μαρτύρων τῶν ἐν τῇ Γοτθίᾳ μαρτυρησάντων».

Τόσην πληθὺν φλέγουσι πυρὶ μαρτύρων,
ὅσας ἄγει μὴν σήμερον τὰς ἡμέρας.

Ἀκολουθεῖ (φ. 26α-β) σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Ἰγγιρίχου βασιλέως Γότθων [. . .]
(φ. 26β) Τελ.: [. . .] αὐτὸν γενέσθαι προσφοράν, ὁλοκαυτωθέντα διὰ πυρός.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων, Κοδράτου· Θεοδοσίου, καὶ Μανουήλ».

Κοδράτε θαυμάζω σε τῆς εὐανδρίας,
πῶς ὑπτιάζων, ἀνδρικῶς σφάττῃ μάκαρ.

Θεοδόσιος τῷ Θ(ε)ῷ ζῶν καὶ μόνῳ,
ζωὴν δι' αὐτὸν ἐκ ξίφ(ους) καταστρέφει.

Ξίφει χεθήτω, κἂν κοτύλη, φησί μοι,
Μανουὴλ πέφυκεν αἵματος μία.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐκ τῆς χώρας τῶν Ἀνατολικῶν· ὁρῶντες δὲ καθ' ἑκάστην ἡμέραν τοὺς χριστιανοὺς ἀναιρουμένους [. . .]
Τελ.: [. . .] καὶ ἐπὶ τριβόλων συρέντες· τέλος, τὰς κεφαλὰς ἀπετμήθησαν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸς) ἡμῶν καὶ ὁμολογητοῦ Στεφάνου· ἡγουμένου μονῆς τῆς Τριγλίας».
Ἀκολουθεῖ (φφ. 26β - 27α) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλεί(ας) Λέοντος τοῦ Ἀρμενίου· ἐκ βρέφους τὸν ἀσκητικὸν ἑλόμενος βίον [. . .]
(φ. 27α) Τελ.: [. . .] καὶ ἐξορίαις ταλαιπωρηθεὶς καὶ νοσήσας, πρὸς Κ(ύριο)ν δι᾽ ὃν τοὺς πολλοὺς πόνους ὑπέστη, ἐξεδήμησεν.

Θείου Στέφανος ἀμπελῶνος ἐργάτης,
Θ(ε)ῷ παραστάς, καμάτων μισθὸν λάβοι.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) διήγησις ὠφέλιμος περὶ Μάλχου μοναχοῦ αἰχμαλωτισθέντος» (φφ. 27α - 29α).

Ἀρχ.: Ἀπὸ τριάκοντα μιλίων Ἀντιοχείας τῆς ἐν Συρίᾳ, χωρίον ἦν καλούμενον Μαρώνεια· ἐν τούτῳ γεννηθεὶς καὶ τραφεὶς ὁ Μάλχος [. . .]
(φ. 29α) Τελ.: [. . .] διαβιοὺς οὖν ἔκτοτε χρόνους ἱκαν(ούς)· καὶ τῷ Θ(ε)ῷ εὐαρέστως δουλεύσας, ἀπῄει πρὸς τὰς αἰωνίους μονάς.

κγ´ «Μηνὶ τῷ αὐτ(ῷ) κζ´. Μνήμη τῆς ἁγ(ίας) μάρτυρος Ματρώνης τῆς ἐν Θεσσαλονίκῃ».

Οὐκ ἄξιον λαθεῖν σε Ματρῶνα,
κἂν ἔνδον εἱρκτ(αῖς) ἐκπνέῃς κεκρυμμένη.
Εἰκάδι ἑβδομάτῃ θάνε Ματρώνη ἐν εἱρκτῇ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη θεράπαινα ὑπῆρχεν Ἰουδαίας τινὸς γυναικός, Παυτίλλης ὀνομαζομένης [...]
Τελ.: [. . .] ἐν ᾧ ἄνωθεν ἐκθλιβόμενον τὸ γλεῦκος ἐχεῖτο· κἀκεῖ τὸν βίον καταστρέψαι.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Κήρυκος ὁ ἐν τῷ Ἄπρῳ ἐν εἰρήνῃ τελειοῦται».

Ἐγὼ π(άτ)ερ Κήρυκε καὶ τεθνηκότα,
κἂν καρδίᾳ φέρειν σε κἂν γλώττῃ θέλω.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων· Φιλητοῦ τοῦ συγκλητικοῦ· καὶ Λυδίας τῆς αὐτοῦ γυναικός· καὶ τ(ῶν) τέκνων αὐτ(ῶν) Μακέδωνος, καὶ Θεοπρεπίου· (φ. 29β) Κρονίδους κομενταρησίου· || καὶ Ἀμφιλοχίου δουκός».

Ὥσπερ Φιλητῷ καὶ Λυδίᾳ σὰρξ μία,
οὕτως ἓν αὐτῶν καὶ μετ᾽ εἰρήνης τέλος.

Θνήσκει Θεοπρέπιος σὺν Μακεδόνι,
θεοπρεπῶς ᾄδοντες ὕμνους Κ(υρί)ῳ.

Δοὺξ συντελευτᾷ τῷ κομενταρησίῳ
ἐξουσιάζων ἐξυπηρετουμένῳ.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Ἀδριανοῦ βασιλέως· χριστιανοὶ ὄντες καὶ καθεκάστην τῷ Θ(ε)ῷ λατρεύοντες [. . .]

Τελ.: [. . .] καὶ εὐχαριστήσαντες τῷ Θ(ε)ῷ, ἀπέδωκαν τὰς ψυχὰς αὐτῶν, τοὺς στεφάνους τῆς μαρτυρίας ἀναδυσάμενοι.

«Τῇ αὐτ(ῇ) ἡμέρᾳ ὁ ἅγιος Ἰω(άννης) καὶ Βρούχιος ξίφει τελειοῦντ(αι)».

Οὐ θάρσος ἧττον Ἰω(άνν)ου πρὸ(ς) ξίφος,
ὁ Βρούχιος εἶχες γοῦν κἂν μὴ καὶ πλέον.

(φ. 30α) «Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ προφήτης Ἀνανὶ ἐν εἰρήνῃ τελειοῦται».

Τριὰς τρίπους σὸς[1] Ἀνανὶ θεοπρόπε,
δι' ἧς τὸ μέλλον προὔλεγες πρὸ τοῦ τέλους.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Παύλου ἐπισκόπου Κορίνθου· ἀδελφοῦ γεγονότος Πέτρου ἐπισκόπου Ἄργους, τοῦ σημειοφόρου· (καὶ) μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Εὐτυχίου· καὶ τοῦ ἁγίου ἀποστόλου Ἡρωδίωνος ἑνὸς τῶν ἑβδομήκοντα».

Πῶς εὐχαρίστως χρὴ βιοῦν ἐν Κ(υρί)ῳ,
πυκναῖς προσευχαῖς προσφέρ(ειν) ἀνενδότως.

Ψυχῇ τε χαίρειν ἐλπίδες χρηστοῦ τέλους,
φαιδρῶς διδάσκεις ἡ βασίλειος λύρα.

κδ' «Μηνὶ τῷ αὐτῷ κη'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἱλαρίωνος τοῦ νέου, ἡγουμένου γεγονότος τῆς μονῆς τῆς Πελεκητῆς».

Δοὺς Ἱλαρίων γῇ τὸ γῆθεν σαρκίον,
γῆν μακάρων ᾤκησε τὴν μακαρίαν.
Ὀγδόῃ Ἱλαρίωνα κιχήσατο εἰκάδι πότμος.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν μαρτύρων καὶ ὁμολογητ(ῶν), Μάρκου ἐπισκόπου Ἀρεθουσίων· Κυρίλλου διακόνου· (καὶ) παρθένων πολλῶν».

Ἐπαγρυπνήσας πρῶτα πολλαῖς αἰκίαις,
ὕπνωσε Μάρκος θεῖον εἰρήνης ὕπνον.

Γαστὴρ Κυρίλλου λευΐτου διὰ ξίφους,
ὡσεὶ πάχος γῆς εἶπε Δα(βὶ)δ ἐρράγη.

Κεῖνται γυναῖκες βρώσ(εως) χοίροις σκάφαι,
γαστρὸς παθοῦσαι ῥῆξιν ἐκ χειροφόνων.

Ἀκολουθεῖ (φφ. 30α - 31β) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ἄρτι τῆς εὐσεβείας Χ(ριστο)ῦ χάριτι διαλαμψάσης καὶ τῆς εἰδωλικῆς πλάνης ἀμαυρωθείσης· κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ Μεγάλου [. . .]
(φ. 31α) Τελ.: [. . .] τῷ δὲ ὑπασπιστῇ τῆς κακίας, ἡ διὰ φλογὸς τιμωρία (καὶ) τὸ αἰωνίως αἰσχύνεσθαι.

1. τρόπους σοὺς cod.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ζωσίμου ἐπισκόπου Συρακούσης».

'Ακολουθεῖ (φφ. 31α - 32α) συναξάριον τοῦ ὁσίου.

"Αρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Ζώσιμος· γεννηθεὶς παρ' εὐσεβῶν γονέων καὶ ἐπιμελῶς παιδευθεὶς [. . .]
(φ. 32α) Τελ.: [. . .] ἰατὴρ οὗτος ἀναδέδεικται τοῦ νοσήματος· ἔστη γὰρ εὐθέως ἡ ῥύσις τοῦ αἵματος.

κε' «Μη(νὶ) τῷ αὐτῷ κθ'. Μνήμη τῶν ἁγίων μαρτύρων· Ἰωνᾶ· Βαραχησίου, (καὶ) τ(ῶν) σὺν αὐτοῖς».

Ἔχεις Ἰωνᾶν καὶ σὺ γῆ πάντως μέγαν,
κατ' οὐδὲν ἐνδέοντα τοῦ θαλαττίου.

Διψῶν Βαραχήσιος ἀθλητῶν τέλος
χανδὸν ζεούσης ἐκπίνει πίσσης σκύφον.
Σπᾷ φλογερῆς ἐνάτῃ Βαραχήσιος εἰκάδι πίσσης.

'Ακολουθεῖ (φφ. 32α - 33α) συναξάριον τῶν μαρτύρων.

"Αρχ.: Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Σαβωρίου βασιλέως Περσῶν· καὶ Κωνσταντίνου τοῦ Μεγάλου, βασιλέως 'Ρωμαίων [. . .]
(φ. 33α) Τελ.: [. . .] ἐκείνων μὲν τελειωθέντ(ων), κατὰ τὴν εἰκοστὴν ἑβδόμην τοῦ μαρτίου μηνός· τοῦ δὲ ἁγίου Ἰωνᾶ καὶ Βαραχησίου, κατὰ τὴν εἰκοστὴν ἐνάτην.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν καὶ ὁμολογητοῦ Εὐσταθίου ἐπισκόπου Κίου τῆς Βιθυνίας».

Τὸν πηλὸν ἐκδὺς Εὐστάθιε παμμάκαρ,
Χ(ριστ)ῷ παρέστης τῷ δι' ἡμᾶς πηλίνῳ.

'Ακολουθεῖ (φ. 33α-β) συναξάριον τοῦ ὁσίου.

"Αρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν καὶ ὁμολογητὴς Εὐστάθιος· τὸν κόσμον ὥσπερ βαρὺ φορτίον ἐξ αὐτοῦ ἀποθέμενος [. . .]
(φ. 33β) Τελ.: [. . .] ὑστερούμενο(ς) ἐν πείνῃ (καὶ) δίψῃ καὶ γυμνότητι, εὐχαριστῶν τῷ Θ(ε)ῷ, ἀπέπτη πρὸς τὰς αἰωνίους μονάς.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἰω(άνν)ου τοῦ ἐν τῷ φρέατι».

'Ακολουθεῖ (φφ. 33β - 34β) συναξάριον τοῦ ὁσίου.

"Αρχ.: Κατὰ τοὺς καιροὺς ἐκείνους, ἦν τις γυνὴ πλουσία σφόδρα καὶ τὸν Θ(εὸ)ν φοβουμένη· αὕτη Ἰουλιανὴ καλουμένη, νεωστὶ χηρεύσασα [. . .]
(φ. 34β) Τελ.: [. . .] καὶ προσκαλεσάμενος ἄνδρα εὐλαβῆ, ἐγγράφως διαλαβεῖν ἅπερ εἶδέ τε καὶ ἤκουσεν, ἠξίωσε.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα· Σωσθένους· Ἀπολλῶ· Κηφᾶ· Καίσαρος, καὶ Ἐπαφροδίτου».

'Ρίζης μαθητῶν ἑβδομήκοντα κλάδου,
πεντάκλαδον τέμνουσιν ἐκ ξίφους μέρος.

κς' «Μη(νὶ) τῷ αὐτῷ λ'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἰωάννου, τοῦ τῆς Κλίμακος».

Ἐπὶ κλίμαξι κλίμακας πυκνῶς π(άτ)ερ,
τὰς ἀρετὰς θείς, ἔφθασαν μέχρι πόλου.
(φ. 35α) Χαῖρεν[1] Ἰωάννης τριακοστῇ ἐξαναλύων.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἄχ.: Οὗτος ἑξκαίδεκα χρόνων ὑπάρχων καὶ ἀγχίνους ὢν τῇ ἐγκυκλίῳ σοφίᾳ, προσαγήοχεν ἑαυτὸν τῷ Θ(ε)ῷ [. . .]
Τελ.: [. . .] πρότερον σχεδιάσας τὴν πάνσοφον βίβλον τῶν θείων καὶ πν(ευματ)ικῶν ἀναβάσεων· ἥτις, κλῖμαξ ἐπονομάζεται.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Κυριακὸς π(ατ)ριάρχης ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Σοῦ Κυριακὸς ποιμνίου ποιμὴν μέγας,
ποιμαίνεται νῦν μυστικῇ σ(ῶτ)ερ χλόῃ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἰω(άννης), π(ατ)ριάρχης Ἱεροσολύμων, ἐν εἰρήνῃ τελειοῦτ(αι)».

(φ. 35β) Ὁ τῆς Σιὼν πρόεδρος || αἰσθητοῦ θρόνου,
πρὸς τὴν Σιὼν ἀπῆρε τὴν νοουμέν(ην).

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Εὐβούλη, ἡ μ(ήτ)ηρ τοῦ ἁγίου Παντελεήμονος, ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ἐν οὐ(ρα)νοῖς σύνεστιν ἀθλητῇ τέκνῳ,
ἀθλητομήτωρ καλλίτεκνος Εὐβούλη.

κζ' «Μη(νὶ) τῷ αὐτῷ τριακοστῇ πρώτῃ. Μνήμη τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀκακίου ἐπισκόπου Μελιτην(ῆς) τοῦ ὁμολογητοῦ».

Ἀκακίῳ θνήσκοντι τῷ γῆς ἀγγέλῳ,
χώραν ἑτοιμάζουσιν ἄγγελοι πόλου.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ἀκάκιος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν καὶ ὁμολογητὴς τοῦ Χ(ριστο)ῦ, ἦν ἐπὶ Δεκίου τοῦ παρανόμου βασιλέως· κηρύττων δὲ τὸν Χ(ριστὸ)ν [. . .]
Τελ.: [. . .] καὶ ἐν θαύμασι διαπρέψας, ἐν εἰρήνῃ τελειοῦται.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ προφήτου Ἰωάδ».
Ἀκολουθεῖ (φφ. 35β - 36α) σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἦν ἐκ τῆς Σαμαρείας, ὃν ἐπάταξεν ὁ λέων (καὶ) ἀπέθανεν [. . .]
(φ. 36α) Τελ.: [. . .] ἐτάφη γὰρ ἐν Βεθὴλ ἐγγὺς τοῦ ψευδοπροφήτου Ἀμβέ, τοῦ πλανήσαντος αὐτόν.

1. χαίρειν cod.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Μένανδρος, κ(α)τὰ πετρῶν γυμνὸς συρόμενος, τελειοῦται».

Γυμνὸν συρέντα τὸν Μένανδρον ἐν πέτραις,
στολὴν ὁ Χ(ριστὸ)ς ἐνδύει σ(ωτη)ρίας[1].

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Βλασίου, ἐκ πόλεως Ἀμορίου τὴν γέννησιν ἔχοντος».
«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι τριακονταοκτὼ μάρτυρες, συγγενεῖς ὄντες, ξίφει τελειοῦνται».

Φυλὴ πεσοῦσα συγγενὴς διὰ ξίφους,
φῦλα τροποῦται τῶν πεσόντων ἐκ πόλου.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Στεφάνου τοῦ θαυματουργοῦ· καὶ μνήμη τοῦ ἁγίου μάρτυρος Θεοφίλου καὶ τῶν σὺν αὐτῷ».

Β′ «Μὴν Ἀπρίλλιος, ἡμέρας ἔχων λ′· ἡ ἡμέρα ἔχει ὥρας ιγ′· καὶ ἡ νὺξ ὥρας ια′».

α′ «Εἰς τὴν α′. Μνήμη τῆς ἁγί(ας) καὶ ὁσί(ας) μ(ητ)ρ(ὸ)ς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας».

Ἀπῆρε πν(εῦμ)α, σὰρξ ἀπερρύη πάλαι,
τὸν ὅστινον γῆ κρύπτει νεκρὸν Μαρίας.
Πρώτη ἀπριλλίου Μαρίη θάν(εν) εὖχος ἐρήμου.

Ἀκολουθεῖ (φ. 35α-β) σύντομον συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ἦν ἐξ Αἰγύπτου· ἐν ἀκολασίᾳ δὲ τὸ πρότερον ζήσασα, καὶ πολλῶν ἀν(θρώπ)ων ψυχὰς διὰ τῆς κατὰ μίξιν ἡδονῆς πρὸς ὄλεθρον ἐκκαλουμένη [. . .]
(φ. 36β) Τελ.: [. . .] τῆς ἀν(θρωπ)ίνης πίστεως ἀπανέστη, τὴν δ' ἀγγελικὴν ἐπὶ γῆς ἀγωγὴν καὶ πολιτείαν ἐκτήσατο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ ὁμολογητοῦ Μακαρίου ἡγουμένου μονῆς τῆς Πελεκητῆς».
Ἀκολουθεῖ (φφ. 36β - 37β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Μακάριος, ἐν Κωνσταντινουπόλει γεννηθεὶς καὶ νήπιος ἀπορφανισθεὶς [. . .]
(φ. 37β) Τελ.: [. . .] καὶ σημείων ἱκανῶν αὐτο<υ>ργὸς ἐκεῖσε γενόμενος, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι Γερόντι(ος) καὶ Βασιλίδ(ης) ξίφει τελειοῦντ(αι)».

Σὺν Βασιλίδ(ῃ) Γερόντιος ἐκ ξίφους,
γερῶν μετέσχε παμβασιλέως λόγου.

---

1. σωτηρίου cod.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ δίκαιος Ἄχαζ ἐν εἰρήνῃ τελειοῦται».

Ἄχαζ Θ(εο)ῦ πέφυκεν ἑστὼς πλησίον,
Ἄχαζ ὃς εἶπεν, οὐ Θ(εό)ν μου πειράσω.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχα νέα Κυριακή, ὅτε τῶν θυρῶν κεκλεισμένων ἐπέστη τοῖς μαθηταῖς ὁ Χ(ριστό)ς».

Εἰ νηδύος κλεὶς ἢ τάφου μὴ κωλύει,
σὴν σ(ῶτ)ερ ὁρμήν, κλεὶς θυρῶν πῶς κωλύσει;

β′ «Μηνὶ τῷ αὐτῷ δευτέρᾳ. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν καὶ θαυματουργοῦ Τίτου».

Τί τοῦτο Τίτε, καὶ σὺ λείπεις ἐκ βίου;
Λείπω μεταστάς, οὕτω δόξαν Κ(υρί)ῳ.
Δευτερίῃ Τίτοιο ἀποψυχὴν νόες ἧραν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὁ μακάριος καὶ ἅγιος π(ατ)ὴρ ἡμῶν Τίτος, ἐκ νεαρᾶς ἡλικίας τὸν Χ(ριστὸ)ν ἀγαπήσας [. . .]
Τελ.: [. . .] στήλην ἔμψυχον καὶ εἰκόνα ἀπαράγραπτον καταλιπὼν τοὺς μαθητὰς αὐτοῦ, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῶν ἁγίων μαρτύρων (καὶ) αὐταδέλφων, Ἀμφιανοῦ καὶ Αἰδεσίου».

Σῷ συμβυθισθεὶς Ἀμφιανὲ συγγόνῳ,
ὕδωρ θαλάσσης ἀμφιέννυμαι, λέγε.

Ἀκολουθεῖ (φφ. 37β - 38α) σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ μιᾶς μ(ητ)ρ(ὸ)ς ἀδελφοί· τῆς Λυδίας ὁρμώμενοι χώρας [. . .]
(φ. 38α) Τελ.: [. . .] καὶ ἐν τῇ θαλάσσῃ ῥιφεὶς τελειοῦτ(αι)· τὸν τοῦ μαρτυρίου στέφανον κομισάμενος.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Θεοδοσίας τῆς παρθένου».

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ἦν ἐκ πόλεως Τύρου· ἑπτακαιδέκατον δὲ τῆς ἡλικίας ἄγουσα χρόνον [. . .]
Τελ.: [. . .] καὶ ἐπὶ πλεῖον ἐνισταμένη, τῇ θαλάσσῃ ἐκδίδοται.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Πολύκαρπος ξίφει τελειοῦτ(αι)».

Τμηθεὶς τὸ κλῆμα Πολύκαρπος Κ(υρίο)υ,
τὸν καρπὸν οὕτω πλείονα Χ(ριστ)ῷ φέρει.

γ′ «Μηνὶ τῷ αὐτῷ γ′. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν καὶ ὁμολογητοῦ Νικήτα ἡγουμένου τῆς μονῆς τοῦ Μηδικίου».

Ῥυσθεὶς βίου Νικήτας ὡς στρουθὸς πάγης,
πτεροῖς νοητοῖς ἵπτατ(αι) πρὸς τὸν πόλον.
Νικήταν καλέουσι τρίτῃ ἐπὶ δῶμα Θεοῖο.

Ἀκολουθεῖ (φ. 38α-β) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ποθήσας τὴν ἐγκράτειαν καὶ παρθενίαν, ηὐλίσθη ἐν ὄρεσι πάσης ἀρετῆς [. . .] (φ. 38β) Τελ.: [. . .] διπλοῦς καὶ τοὺς στεφάνους ἐκ χειρὸς Κ(υρίο)υ δεξάμενος, πρὸς αὐτὸν μεταστὰς ἀνεπαύσατο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν καὶ ὁμολογητοῦ Ἰωσὴφ τοῦ Ὑμνογράφου».

Ζῶντος Θ(εο)ῦ σὺ θεῖος ὑμνητὴς π(άτ)ερ,
ἐγὼ δέ, σοῦ θανόντος[1], ὑμνητὴς νέος.

Ἀκολουθεῖ (φφ. 38β - 39β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος τῆς Σικελῶν ἐπαρχίας ὑπῆρχεν· γεννητόρω(ν), Πλωτίνου καὶ Ἀγάθης· ἐπιεικῆς καὶ εὐσεβῆς τὸν τρόπον [. . .]
(φ. 39β) Τελ.: [. . .] ἄπελθε κατὰ τὸν δεῖνα τόπον, καὶ εὑρήσεις ὃν ἐπιζητεῖς οἰκέτην σου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Ἐλπιδοφόρος ξίφει τε(λειοῦται)».

Ξίφους ἀληθὴς μάρτυς Ἐλπιδοφόρος,
Θ(εὸ)ν φέρων ἄψευστον εὐελπιστίαν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Δῖος, κεράμῳ τὴν κεφαλὴν τρωθείς, τελειοῦται».

Βαλὼν κεράμῳ δυσσεβὴς Δίου κάραν,
ὡς σκεῦος αὐτὴν συντρίβει κεραμέως.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Βυθόνιος, ἐν τῇ θαλάσσῃ βληθείς, τελειοῦται».

Ὁ Βυθόνιος εἰς βυθὸν βεβλημένος,
τὴν κλῆσιν εὗρεν εἰς προφητεί(αν).

(φ. 40α) «Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Γάλυκος, ὑπὸ θηρίων δηχθείς, τελειοῦτ(αι)».

Δηχθεὶς ὀδοῦσι Γάλυκος τῶν θηρίων,
θηρὸς νοητοῦ τοὺς ὀδόντας συντρίβει.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἰλλυριός, ὁ ἐν τῷ ὄρει τῆς Μυρσινῶνος, ἐν εἰρήνῃ τελειοῦται».

Ἐκ Μυρσινῶνος Ἰλλυριὲ πρὸς πόλον,
οὐχ ὡς ὁ Χ(ριστὸ)ς ἐξ ἐλαιῶνος φέρῃ.

δ′ «Μηνὶ τῷ αὐτῷ δ′. Μνήμη τῶν ἁγίων μαρτύρων Θεοδούλου (καὶ) Ἀγαθόποδος».

Πρῶτος θάλασσαν εἰσιὼν Ἀγαθόπους,
ἔργοις ὑπῆρξας χρηστόπους Θεοδούλῳ.
Ἀγαθόπους ἑτάρος τετάρτῃ πόντον ἐδύτην.

1. θανέντος cod.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τούτων ὁ μὲν Θεόδουλος νεώτερος ἦν· ὁ δὲ Ἀγαθόπους, τῆς πρεσβυτικῆς ἐπιβεβηκὼς ἡλικίας [. . .]
Τελ.: [. . .] οἱονεὶ τινος ἀρραβῶνος δοθέντος αὐτῷ τῆς μελλούσ(ης) ἕνεκεν μαρτυρίας.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Φερφούθας, καὶ τῆς ἀδελφῆς αὐτῆς καὶ τῆς παιδίσκης».

Ἁπλῆν με πλάττεις Χ(ριστ)ὲ διπλὲ τὴν φύσιν,
ἔχεις δὲ πρισθεῖσάν με διττὴν Φερφούθαν.

Δούλας ἀληθεῖς δεσπότου Θ(εο)ῦ δύο,
δούλην τε καὶ δέσποιν(αν) ἔπρισε πρίων.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

(φ. 40β) Ἀρχ.: Αὗται ὑπῆρχον ἐπὶ Σαβωρίου βασιλέως ἐν Περσίδι· ἀδελφαὶ τυγχάνουσαι τοῦ ἁγίου Συμεὼν τοῦ ἐπισκόπου [. . .]
Τελ.: [. ..] μὴ ἂν ἄλλως ταύτην ἰαθῆναι, εἰ μὴ διὰ τῶν νεκρῶν σωμάτων τῶν ἁγίων παρέλθοι.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Πόπλιος ἐν εἰρήνῃ τελειοῦται».

Ἐν οὐ(ρα)νοῖς Πόπλιε μισθός σοι μέγας,
πρὸς οὓς ἀπαίρων, χαῖρε καὶ κρότει μέγα.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Πλάτων, ἡγούμενος τῶν Στουδίου, ἐν εἰρήνῃ τελειοῦται».

Πλάτων ἀρίστην εὖ μετεπλάσθη πλάσιν,
Χ(ριστ)ῷ πλάσαντι, συγκρασθεὶς κρᾶσιν ξένην.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ὅσιοι τρεῖς· Θεωνᾶς· Συμεὼν· καὶ Φρωβῖνος ἐν εἰρήνῃ τελειοῦνται».

Ψυχὰς δέχου τρεῖς οὐ κεκηλιδωμένας,
ψυχῶν ἀκηλίδωτε τῶν θείων τόπε.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Γεώργιος ὁ ἐν τῷ Μαλαίᾳ ἐν εἰρήνῃ τελειοῦται».

Ψυχὴν ὁ Γεώργιος ἀσμένως δίδως,
ψυχῶν γεωργῷ καὶ φυτουργῷ σαρκίων[1].

«Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ζωσιμᾶ· τοῦ κηδεύσαντος τὴν ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν».

ε′ (φ. 41α) «Μη(νὶ) τῷ αὐτῷ ε′. ‖ Μνήμη τοῦ ἁγίου μάρτυρος Κλαυδιανοῦ· καὶ τ(ῆς) συνοδεί(ας) αὐτοῦ».

Σπεύδεις ὀκλάζων Κλαυδιανὲ πρὸς γόνυ,
τομῇ κεφαλῆς πρὸς Θ(εο)ῦ δραμεῖν γόνυ.
Πέμπτῃ Κλαυδιανοῦ κεφαλὴν τάμε χεὶρ φονόεσσα.

1. σαρκίω cod.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ».
Ἀκολουθεῖ συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ἡ ὁσία Θεοδώρα ἐκ νεαρᾶς ἡλικίας τὸν Χ(ριστὸ)ν ποθήσασα [...]
Τελ.: [...] τυφλοὺς ὠμμάτωσε· καὶ ἀσθενεῖς ἀναριθμήτους ἐθεράπευσεν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων· Θεοδώρας κ(αὶ) Διδύμου».

Σὺν τῇ συνάθλῳ Δίδυμε τμηθεὶς φλέγῃ,
(φ. 41β) φέρων σὺν αὐτῇ δίδυμον τιμωρίαν.

Ἀκολουθεῖ (φφ. 41β - 42α) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Βασιλεύοντος Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ· Εὐστρατίου ἡγεμονεύοντος ἐν Ἀλεξανδρείᾳ, διωγμὸς ἦν κατὰ τ(ῶν) χριστιανῶν [...]

(φ. 42α) Τελ.: [...] τότε τινὲς τ(ῶν) πιστῶν τὰ τίμια αὐτοῦ λείψανα συλλέξαντες, ἐν ἐπισήμῳ τόπῳ κατέθεντο.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Θέρμος πυρὶ τελειοῦτ(αι)».

Θέρμην ἔρωτος ἐνθέου Θέρμος φέρων,
θέρμην πυρὸς φλέγοντος ὡς ψῦξιν κρίνει.

«Τῇ αὐτῇ ἡμέρᾳ αἱ ἅγιαι δύο· κυρία καὶ δούλη ξίφει τελειοῦνται».

Ἐχρῆν ἕπεσθαι κυρίᾳ καὶ δουλίδα,
ἐκ γῆς ἰούσῃ πρὸς Θ(εὸ)ν διὰ ξίφους.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Πομπηΐος ξίφει τελειοῦται».

Ὡς ζῶν πρόβατον Πομπηΐε Κ(υρίο)υ,
χέεις ἀμελχθεὶς αὐχένας ξίφει γάλα.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ζήνων, πίσσαν χρισθεὶς καὶ εἰς πῦρ βληθεὶς καὶ δόρατι ἔνδον τῆς πυρᾶς τρωθείς, τελειοῦται».

Ἆθλος τριπλοῦς Ζήνωνι· πίσσα· πῦρ· δόρυ,
οἶμαι δι' ἣν ἔπασχε ταῦτα Τριάδα.

«Τῇ αὐτῇ ἡμέρᾳ Μάξιμος καὶ Τερέντιος ξίφει τε(λειοῦνται)».

Ἴσον μετέσχον καὶ στέφους ὡς καὶ τέλους,
Τερέντιος, Μάξιμος, οἷς τομὴ τὸ τέλος.

«Τῇ αὐτῇ ἡμέρᾳ αἱ ἅγιαι μάρτ(υ)ρ(ες) αἱ ἀπὸ Λέσβου ξίφει τελειοῦνται».

Ἀθληφόρους τίθησι Λεσβίας κόρας,
μίαν δύο τρεῖς τέσσαρας πέντε ξίφος[1].

ς' (φ. 42β) «Μη(νὶ) τῷ αὐτῷ ς'. || Μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Εὐτυχίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως».

Εὐτύχιον θανόντα τιμῶν τοῖς λόγοις,
ἐμαυτὸν αὐτὸς εὐτυχέστατον κρίνω.

1. ξίφους cod.

᾿Ακολουθεῖ (φφ. 42β - 43β) συναξάριον τοῦ ἁγίου.

῎Αρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν καὶ μέγας ἀρχιερεὺς Εὐτύχιος, κατὰ τοὺς χρόνους ἦν ᾿Ιουστινιανοῦ τοῦ μεγάλου· ἐκ τῆς Φρυγῶν χώρας ὁρμώμενος [. . .]
(φ. 43β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ἑκατὸν εἴκοσι μάρτυρες οἱ ἐν Περσίδι πυρὶ τελειοῦνται».

῎Αν ἐξαριθμῇς οὓς τὸ πῦρ Πέρσ(ας) φλέγει,
εὕροις ἔχοντας τετράκις τὸ τρὶς δέκα.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Πλατωνὶς ἐν εἰρήνῃ τελειοῦται».

Πόλου πλάτη φέρουσι τὴν Πλατωνίδα,
τὴν ἀρεταῖς λάμψασαν εἰς τὰ γῆς πλάτη.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι δύο μάρτυρες οἱ ἐν ᾿Ασκάλωνι· ἄχρι τῆς ὀσφύος χωσθέντες τελειοῦνται».

᾿Ανηρότως σοι γῆ καρπὸν φύει λόγε·
ὁ καρπός, ἄνδρες ἄχρις ὀσφύος δύο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου ὁσιομάρτυρος ῾Ερμαίου τοῦ ἐν τῷ Σιρμίῳ».

ζ' «Μηνὶ τῷ αὐτῷ ζ'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Γεωργίου ἐπισκόπου Μυτιλήνης».

῎Εχει Μυτιλήνη σε καὶ τεθνηκότα,
ὡς ζῶντα Γεώργιε προστάτην μέγαν.
Ζωὰν δ' ἐκ θανάτοιο Γεώργιος ἑβδόμῃ εὗρεν.

᾿Ακολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

῎Αρχ.: Οὗτος τὸν Χ(ριστὸ)ν ἐξ ἁπαλῶν ὀνύχων ποθήσας, τὸν μοναστ(ὴν) ὑπέρχεται βίον [. . .]
Τελ.: [. . .] πηγὰς δὲ θαυμάτων ἐκ τῶν αὐτοῦ λειψάνων τοῖς ποθοῦσι χαρισάμενος, πᾶσιν ἐστὶν ἀξιέραστος.

(φ. 44α) «Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μ(άρτυ)ρ(ος) Καλλιοπίου».

Καλλιόπιος ἔμπαλιν παγεὶς ξύλῳ,
τὸν ὀρθίως παγέντα δοξάζει λόγον.

᾿Ακολουθεῖ (φ. 44α-β) συναξάριον τοῦ μάρτυρος.

῎Αρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ βασιλέ(ως), υἱὸς γεγονὼς Θεοκλείας, τὴν εἰς Χ(ριστὸ)ν πίστιν δεδιδαγμένης [. . .]
(φ. 44β) Τελ.: [. . .] καὶ συγκατετέθη τῷ ἁγίῳ μάρτυρι παρὰ ἀνδρῶν εὐσεβῶν καὶ πιστῶν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος ῾Ρουφῖνος μαχαίρᾳ τελειοῦτ(αι)».

Σφαγῆς λογισθεὶς ὡς πρόβατον ῾Ρουφῖνος,
σφάττει παλαι(ὸν) τὸν διάβολον λύκον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία Ἀκυλῖνα ἡ νέα, τὰς χεῖρας ὀπίσω δεσμευθεῖσα καὶ τὴν κοιλίαν φλεχθεῖσα, τελειοῦτ(αι).

Ὀπισθόχειρα σχοινίοις στρεβλουμένην,
ἐμπροσθίως φλέγουσι τὴν Ἀκυλῖναν.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι διακόσιοι μάρτυρες οἱ ἐν Σινώπῃ ξίφει τελειοῦνται».

Ἀνεῖλεν ἀνδρῶν εἰκάδας δέκα ξίφος,
οἷς ἀνδρικὸς νοῦς, ἀνδρικὴ (καὶ) καρδία.

η´ «Μηνὶ τῷ αὐτῷ ὀγδόῃ. Μνήμη τῶν ἁγίων ἀποστόλων, ἐκ τῶν ἑβδομήκοντα· Ἡρωδίωνος· Ἀγάβου· Φλέγοντος, καὶ τῶν λοιπῶν».

Εὐαγγελίου τὸν καλὸν δραμὼν δρόμον,
Ἡρωδίων κάλλιστον ἤρατο στέφος.

Ψυχὴν Ἀγάβου τοῦ προφηταποστόλου,
ὁ ψυχοσώστης προσκαλεῖται δεσπότης.

Σβέσας πλάνην φλέγουσαν ὁ Φλέγων φλόγα,
οὓς Δα(βὶ)δ εἶπε πῦρ φλέγον βλέπει νόας.

Ἐξέλον ὀγδόῃ Ἡρωδίωνος φίλον ἦτορ.

Ἀκολουθεῖ (φφ. 45β - 46β) συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Τούτων, ὁ μὲν Ἡρωδίων οὗ ὁ μέγας ἀπόστολος Παῦλος μέμνηται [. . .]
(φ. 45α) Τελ.: [. . .] ἐν μιᾷ ἡμέρᾳ διαφόρως τιμωρηθέντες, ὑπὸ Ἰουδαίων καὶ Ἑλλήνων ἐτελειώθησαν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Κελεστίνου πάπα Ῥώμης».

Τὸ χάσμα καὶ σὲ παμμάκαρ Κελεστῖνε,
χοροῦ διιστᾷ μὴ με<μα>καρισμένου.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Θεοδοσίου τοῦ νέου· ἐν τῇ ἐκκλησίᾳ τῆς πρεσβυτέρας Ῥώμης [. . .]
Τελ.: [. . .] καὶ μνήμης ἄξια κατεργασάμ(εν)ο(ς), ἐν εἰρήνῃ τῶν τῇδε ἀπανίσταται· καὶ πρὸς τὴν ἀγήρω (καὶ) μακαρίαν μετετέθη ζωήν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτ(υ)ρο(ς) Παυσολυπίου».

Ὁ Παυσόλυπος γῆς λιπὼν παροικίαν,
εἰς παυσίλυπον ἔρχεται κατοικίαν.

(φ. 45β) Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Ἀδριανοῦ τοῦ βασιλέως· φωραθεὶς δὲ ὡς εἴη τὸν Χ(ριστὸ)ν σεβόμενος [. . .]
Τελ.: [. . .] τῇ γῇ προσερεισθεὶς καὶ εὐξάμενος, τῷ Θ(ε)ῷ τὸ πν(εῦμ)α παρέδωκεν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἐν τῷ κυρίῳ Πάσχα Κυριακὴ τῶν Μυροφόρων».

Κ(υρί)ῳ φέρουσιν αἱ μαθήτριαι μύρα,
ἐγὼ δὲ ταύταις ὕμνον ὡς μύρον φέρω.

θ′ «Μηνὶ τῷ αὐτῷ θ′. Μνήμη τοῦ ἁγίου μάρτυρος Εὐψυχίου, τοῦ ἐν Καισαρείᾳ».

Ἐκεῖ μετῆλθεν Εὐψύχιος τὸ ξίφος,
οὗ Χ(ριστὸ)ς ἦλθε Καισαρείας εἰς μέρη.
Φάσγανον ἀμφ' ἐνάτην Εὐψυχίου ἔκταμε λαιμόν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὑπάρχων τῆς Καππαδόκ(ων) χώρας· καὶ ἀνεπίληπτον βίον κεκτημένος [. . .]
Τελ.: [. . .] ξίφει καθυποβληθῆναι· καὶ τὸ πέρας τοῦ βίου δέξασθαι.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ὁσιομάρτυρος Βαδίμου τοῦ ἀρχιμανδρίτου, καὶ τῶν αὐτοῦ ἑπτὰ μαθητῶν».

Ἑπτὰς μαθητῶν συντέμνεται Βαδίμῳ,
οὐ γὰρ πέφευγεν ὡς μαθηταὶ Κ(υρίο)υ.

Ἀκολουθεῖ (φφ. 45β - 46α) σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Σαβωρίου βασιλέως Περσῶν· ἐκ πόλεως Βηθλαπάτης [. . .]
(φ. 46α) Τελ.: [. . .] πολλοῖς κακοῖς συσχεθεὶς ὡς τῇ ἀρνήσει προσμείνας.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων μαρτύρων τῶν ἐν τῇ αἰχμαλωσίᾳ τελειωθέντων ἐν Περσίδι».

Εἰς πυρσολατρῶν γῆν ἐναθλεῖ Περσίδα,
ἡ χριστολατρῶν αὐχενότμητος φάλαγξ.

Ἀκολουθεῖ (φ. 46α-β) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τοῦ βασιλέως Σαβωρίου Περσῶν κατὰ τὸ πεντηκοστ(ὸν) τρίτον ἔτος τῆς βασιλείας αὐτοῦ κατὰ τῆς Ῥωμαίων χώρας ἐλθόντος [. . .]
(φ. 46β) Τελ.: [. . .] εἰ γὰρ ἐδυσφόρει καὶ ἔστενε τῶν συμμαρτύρων ἀπολειφθείη.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ἀβδιησοῦς μαχαίρᾳ τελειοῦται».

Ὢν αἰχμάλωτος Ἀβδιησοῦς τὴν τύχην,
ἠλευθέρωται τὴν σφαγὴν δοὺς ὡς λύτρον.

ι′ «Μη(νὶ) τῷ αὐτῷ δεκάτ(ῃ). Μνήμη τῶν ἁγίων μαρτύρων· Τερεντίου· Ἀφρικανοῦ· Μαξίμου· Πομπηΐου, καὶ ἑτέρων τριακονταέξ· τῶν περὶ τὸν μακάριον Ζήνωνα καὶ Ἀλέξανδρον καὶ Θεόδωρον».

Ἔπαθλα ποῖα τῆς τομῆς Τερεντίῳ,
ἃ μὴ προσέσχεν ὄψις, οὓς ἣ[1] καρδία.

1. οὓς ἡ cod.

Ἴδωμεν οὓς τέμνουσιν ἀθλητὰς ὅσοι,
δεκὰς τετραπλῆ πάντες εἰς ψυχὴν μίαν.

Ἀσφάραγον δεκάτῃ Τερέντιος ἐξαπετμήθη.

Ἀκολουθεῖ (φφ. 46β - 47α) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι κατὰ τοὺς χρόνους ὑπῆρχον Δεκίου τοῦ βασιλέ(ως) καὶ Φουρτουνιανοῦ ἡγεμόνος· ὥρμηντο δὲ ἐξ Ἀφρικῆς [. . .]
(φ. 47α) Τελ.: [. . .] ὧν οὐδὲν αὐτῶν ἥψατο, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ προφήτης Ὀλδὰ ἐν εἰρήνῃ τελειοῦται».

(φ. 47β) Ἀφῆκεν Ὀλδὰ πν(εῦμ)α μέλλοντα βλέπον,
ἡ πν(εύματο)ς γέμουσα θεία Πυθία.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων· Ἰακώβου πρεσβυτέρου· καὶ Ἀζᾶ διακόνου».

Τὸν Ἰάκωβον καὶ τετμημένον γράφω,
καὶ τῆς τομῆς φέροντα μισθ(ὸν) τὸ στέφος.

Τμηθεὶς ὁ Χ(ριστο)ῦ λευΐτης Ἀζᾶς κάραν,
Χ(ριστο)ῦ τὸν ἐχθρὸν Λευϊαθὰν αἰσχύνει.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Σαβωρίου βασιλέως Περσῶν· καὶ ὁ μὲν Ἰάκωβος ὥρμητο ἀπὸ κώμης λεγομένης Φαργαθᾶ [. . .]
Τελ.: [. . .] καὶ οὕτ(ως) στεφηφόροι ἀνῆλθον ἐν τοῖς οὐ(ρα)νοῖς.

ια' «Μη(νὶ) τῷ αὐτῷ ια'. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ἀντίπα· ἐπισκόπου Περγάμου τῆς Ἀσίας».

Ταύρῳ παλαίεις καλλιμάρτυς Ἀντίπα,
ὅς σε φλογίζειν οὐ κερατίζειν ἔχει.
Χάλκεον ἑνδεκάτῃ βληθεὶς φλέγῃ Ἀντίπα εἰς βοῦν.

Ἀκολουθεῖ (φφ. 47β - 48α) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Δομετιανοῦ τοῦ βασιλέως· σύγχρονος τῶν ἁγίων ἀποστόλων [. . .]
(φ. 48α) Τελ.: [. .] ἐν τῷ πανσέπτῳ ἀποστολείῳ [. . .] Ἰωάννου παρθένου τοῦ θεολόγου· πλησί(ον) τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ὁσία Τρύφαινα ἡ ἐν Κυζίκῳ ἐν εἰρήνῃ τελειοῦται».

Χωρίζεται Τρύφαινα σαρκὸς πηλίνης,
ἡ πηλὸν αὐτῆς τὰς τρυφὰς ἡγουμένη.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Φαρμούθιος ἐν εἰρήνῃ τε(λειοῦται)».

Ἐξῆλθε Φαρμούθιος ἐκ τῶν ἐνθάδε,
φαρμουθὶ μηνί· δῆλον ὡς ἀπριλλίῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἰω(άνν)ου, μαθητοῦ τοῦ ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου».

Ἰωάννη σκίρτησον ὡς Ἰωάννης,
οὐ γαστρὸς ἐντός, ἀλλὰ τῆς Ἐδὲμ μέσον.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

(φ. 48β) Ἄρχ.: Ἰωάννης ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν ἐξ ἁπαλῶν ὀνύχων τὸν κόσμον μισήσας [. . .]
Τελ.: [. . .] εἰς πλείους ἀγῶνας ἀρετῆς· καὶ οὕτω ἐν εἰρήν(ῃ) ἀνεπαύσατο.

ιβ' «Μη(νὶ) τῷ αὐτῷ ιβ'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Βασιλείου τοῦ ὁμολογητοῦ, ἐπισκόπου Παρίου».

Χαίρων τελεύτα Βασίλειε τρισμάκαρ,
ἐκεῖ γὰρ ἥξεις, οὗ χαρᾶς πλησθῇς[1] ὅσης.
Δωδεκάτῃ Βασίλειε ταφήια δύσαο νεκρός.

Ἀκολουθεῖ (φφ. 48β - 49α) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἄρχ.: Οὗτος ὁ ἅγιος Βασίλειος διὰ τὴν ὑπερβάλλουσαν αὐτῷ ἀρετὴν [. . .]
(φ. 49α) Τελ.: [. . .] ὕστερον ἀπετέθη ἐν τῇ ἁγίᾳ σορῷ τῶν Χαλκοπρατείων· κατὰ τὴν τριακοστὴν πρώτ(ην) τοῦ αὐγούστου μηνός.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Ἀνθούσης, θυγατρὸς βασιλέως Κωνσταντίνου τοῦ Κοπρωνύμου».

Ῥίζης δυσώδους καρπὸς εὐώδης μάλα,
Ἄνθουσα σεμνὴ γῆς ἀπανθεῖ καὶ βίου.

Ἀκολουθεῖ συναξάριον τῆς ὁσίας.

Ἄρχ.: Ἥτις ὑπὸ τοῦ π(ατ)ρ(ὸ)ς πολλάκις ἀναγκασθεῖσα συζευχθῆναι ἀνδρί, οὐκ ἐπείσθη [. . .]
Τελ.: [. . .] μετὰ τῶν τῆς ἀρετῆς φορτίων μεθίσταται πρὸς Θ(εόν)· χρόνων οὖσα πεντηκονταδύο.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτ(υ)ρ(ες) Δήμης καὶ Πρωτίων ξίφει τελειοῦνται».

(φ. 49β) Πρῶτος κεφαλὴν Πρωτίων ἀφῃρέθη,
μεθ' ὃν κάραν προὔτεινε Δήμης δημίῳ[2]

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ἀρτέμων ὁ πρεσβύτερος ξίφει τελειοῦτ(αι)».

Εὗρε στεφάνους ἀρτίτμητος[3] Ἀρτέμων,
πρέποντας αὐτοῦ τῇ τετμημένῃ κάρᾳ.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι τρεῖς ἀββάδες· Μηνᾶς· Δα(βί)δ· (καὶ) Ἰω(άνν)ης τοξευόμενοι τελειοῦνται».

---

1. πλησθεῖς cod.
2. δημίων cod. 3. ἀρτέτμητος cod.

Δούλους Θ(εο)ῦ τρεῖς ἀββάδας παθοκτόνους,
τοξεύμασι κτείνουσιν ἀνθρωποκτόνοι.

ιγ′ «Μη(νὶ) τῷ αὐτῷ ιγ′. Μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Μαρτίνου πάπα Ῥώμης».

Ὁ σὴν γεγηθὼς σάρκα ἐσθίων,
ἀπεκδύσει γέγηθε σαρκὸς Μαρτῖνος.
Ἀμφὶ τρίτ(ην) δεκάτ(ην) θάνε Μαρτῖνος περίπυστος.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ ἐπιλεγομένου Πωγωνάτου· ὅστις Κωνσταντῖνος ἐν Σικελίᾳ ἀνῃρέθη [. . .]
Τελ.: [. . .] ἔνθα τὸ λειπόμενον τῆς ζωῆς ἀθλητικῶς διανύσας ὁ ἅγιο(ς), πρὸς Κ(ύριο)ν ἐκδημεῖ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγ(ίων) μαρτύρων Μαξίμου καὶ τῶν σὺν αὐτῷ».

Τίνες κεφαλ(ῶν) οἵδε κείμενοι δίχα,
Κυντιλιανός, Μάξιμός τε (καὶ) Δάδας.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν δυσσεβ(ῶν), οὗτοι οἱ ἅγιοι συσχεθέντες [. . .]
(φ. 50α) Τελ.: [. . .] μετὰ δὲ τῶν ἄλλων ἐξετασθέντες, τὰς κεφαλὰς ἀπετμήθησαν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ἐλευθέριος ὁ Πέρσ(ης) ξίφει τελειοῦται».

Ἐλευθέριος οὐκ ἐδουλώθη πλάνῃ,
ἐλεύθερος δὲ πρὸς ξίφους ἔστη στόμα.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Θεοδόσιος ξίφει τελειοῦτ(αι)».

Θεοῖς προσοίσειν μηδαμῶς πεισθεὶς δόσιν,
ἤχθης Θεοδόσιε τὴν ἐπὶ ξίφους.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Ζώιλος ὁ Ῥωμαῖος· ἐν ξύλῳ κρεμασθεὶς τελειοῦται».

Τόξου βέλει Ζώιλε πληγεὶς ἐν ξύλῳ,
πλήττεις τὸν εἰσάξαντα τ(ὴν) φθορὰν ξύλῳ.

ιδ′ «Μη(νὶ) τῷ αὐτῷ ιδ′. Μνήμη τῶν ἁγίων ἀποστόλων, ἐκ τῶν ἑβδομήκοντ(α)· Ἀριστάρχου· Πούδη (καὶ) Τροφίμου».

Τιμῶ τὸν Ἀρίσταρχον ὡς ἀριστέα,
καλῶς ἀριστεύσαντα μέχρι καὶ ξίφ(ους).

Ποῦ δὴ μετέστης ὡς ἀπετμήθης Πούδη;
Ποῦ δὴ μετέστην, ἢ πρὸς ἄφθαρτον κλέος;

Τμήθη Ἀριστάρχου κάρη δεκάτῃ τετάρτῃ.

Ἀκολουθεῖ (φ. 50α-β) σύντομον συναξάριον τῶν ἀποστόλων.

Ἀρχ.: Οὗτοι ἐκ τῶν ἑβδομήκοντα ἀποστόλων ὑπάρχοντες, ἠκολούθησαν τῷ μεγάλῳ ἀποστόλῳ Παύλῳ [. . .]
(φ. 50β) Τελ.: [. . .] ἐγένετο γ(ὰρ) ὁ ἅγιος δι' εὐφυΐαν φιλομαθὴς καὶ πολυΐστωρ, ὡς οὐκ ἄλλος τις.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτ(υ)ρο(ς) Ἀρδαλίωνος τοῦ μίμου».

Ἦν μῖμος ὄντως Ἀρδαλίων ἢ πάλαι,
μιμούμενος γὰρ μάρτυρας τὸ πῦρ στέγει.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος κατὰ τοὺς χρόνους ἦν Μαξιμιλιανοῦ τοῦ βασιλέως· ἐν τοῖς θεάτροις μιμούμενος [. . .]
Τελ.: [. . .] πυρᾶς ἐξαφθείσης (καὶ) ἐν μέσῳ βληθείς, τὸ τέλος ἐδέξατο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας ὁσιομάρτυρος Θωμαΐδος».

Αἰῶνος ἦρας τοῦδε τὴν Θωμαΐδα,
τὸ τῆς γραφῆς μέλλοντος αἰῶνος π(άτ)ερ.

Ἀκολουθεῖ (φφ. 50β - 51β) συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἡ ἁγία αὕτη Θωμαῒς ἐν Ἀλεξανδρείᾳ γεννηθεῖσα καὶ ὑπὸ τῶν γεννητόρων αὐτῆς καλῶς ἀνατραφεῖσα [. . .]
(φ. 51β) Τελ.: [. . .] ἐν τοῖς πολέμοις τῆς σαρκός, μεγάλην βοηθὸν τὴν μακαρίαν Θωμαΐδα κέκτηνται.

ιε' «Τῷ αὐτῷ μη(νὶ) ιε'. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Κρίσκεντος τοῦ ἐν Μύροις».

Θάμβος βλέπειν Κρίσκεντα τοῦ πυρὸς[1] μέσον,
ἡγούμενον λειμῶνα τερπνὸν τὴν φλόγα.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ πόλεως Μύρων τῆς Λυκίας· γένους ἐνδόξου· τὴν ἡλικίαν προβεβηκὼς [. . .]
Τελ.: [. . .] τοῦ δὲ πυρὸς μηδὲ τριχὸ(ς) αὐτοῦ διαφθείραντος, τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρέθετο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων γυναικῶν· Βασιλίσσης· καὶ Ἀναστασίας».

Ἀμνοῦ Θ(εο)ῦ σφάττουσ(ιν) ἀμνάδας δύο,
Ἀναστασίαν καὶ Βασίλισσαν ἅμα.

1. πυρα cod.

Ἀκολουθεῖ (φφ. 51β - 52α) σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Αὗται ὑπῆρχον ἐκ τῆς μεγαλουπόλεως Ῥώμης· εὐγενεῖς καὶ πλούσιαι· μαθήτριαι γεγονυῖαι τ(ῶν) ἁγίων ἀποστόλων [. . .]
(φ. 52α) Τελ.: [. . .] τὰς γλώσσας ἀποτέμνονται· καὶ τέλ(ος), μαχαίραις τὰς κεφαλὰς αὐτῶν ἀφαιροῦνται.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Λεωνίδης, ἐπίσκοπος Ἀθηνῶν, ἐν εἰρήνῃ τελειοῦται».

Σκότος συνέσχε τὰς Ἀθήνας ἀθρόον,
δύσαντος αὐταῖς ἡλίου Λεωνίδους.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρες Θεόδωρος πρεσβύτερος καὶ Παυσολύπιος ξίφει τελειοῦνται».

Παυσολυπίῳ καὶ Θεοδώρ(ῳ) θύτῃ,
δῶρόν τι παυσίλυπον ὄντως τὸ ξίφος!

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχα, Κυριακὴ τοῦ Παραλύτου».

Τὸ ῥῆμα Χ(ριστο)ῦ σφίγμα τῷ παρειμένῳ,
οὕτως ἴαμα ῥῆμα τούτου καὶ μόνον.

ις´ «Μη(νὶ) τῷ αὐτῷ ις´. Μνήμη τ(ῶν) ἁγίων μαρτύρω(ν) γυναικῶν· Ἀγάπης· Εἰρήνης καὶ Χιονίας».

Χιὼν τὸ πῦρ ἦν τῇ Χιονίᾳ τάχα,
Θ(εο)ῦ συμμετασχεῖν ἠγάπησεν Ἀγάπη.

Βέλος σε πέμπει πρὸς τὸν εἰρήνης τόπον,
ἀφ' αἱμάτων σῶν ἐκμεθυσθὲν Εἰρήνη.

Χιονίην Ἀγάπην ἕξ καὶ δεκάτῃ κατακαῦσαν.

Ἀκολουθεῖ (φ. 52α-β) σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Κατὰ τοὺς καιροὺς ὅτε Χρυσόγονος ὁ μάρτυς ὑπὸ Διοκλητιανοῦ τοῦ βασιλέως [. . .] τὴν κεφαλὴν ἀπετμήθη [. . .]
(φ. 52β) Τελ.: [. . .] καὶ βέλος ἀφεὶς κατ' αὐτῆς, παρέδωκε τὴν ψυχὴν τῷ Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων· Φήλικος ἐπισκόπου· Ἰαννουαρίου πρεσβυτέρου· Φουρτουνάτου καὶ Σεπτεμίνου».
Ἀκολουθεῖ (φφ. 52β - 53α) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐξῆλθε δόγμα κατὰ πᾶσαν χώραν τοῦ καίεσθαι πάσας τὰς βίβλους τῶν χριστιανῶν [. . .]
(φ. 53α) Τελ.: [. . .] καὶ ἀποτμηθέντες τὰς κεφαλάς, ἀπῆλθον πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων· Λεωνίδου· Χαρίσσης· Νίκης· Γαλήνης· Καλλίδος[1]· Νουνεχίας· Βασιλίσσης, (καὶ) Θεοδώρας».

1. Καλλίδους cod.

Κόλποις θαλάσσης ἐκδοθεὶς Λεωνίδης,
φθάνει κολυμβῶν Ἀβραὰμ κόλπων ἄχρι

Θάλασσαν ἡ Χάρισσα φρίττειν οὐκ ἔχω,
ἥτις θάλασσα προξενεῖ μοι χαρίτων.

Βυθῷ Γαλήνη καὶ Νίκη βεβλημέναι,
νίκην ἐφεῦρον καὶ γαλήνην ἐκ σάλου.

Βυθὸς θαλάσσ(ης) λαμβάνει τὴν Καλλίδα,
κάλλους ἐρῶσαν ψυχεραστοῦ νυμφίου.

Εὑροῦσα κέρδος ἐκ βυθοῦ σωτηρίαν,
τὸ νουνεχές σου δεικνύεις Νουνεχία.

Γαστὴρ θαλάσσης λαμβάνει κόρας δύο,
λίχνην[1] φυγούσας δυσσεβείας γαστέρα.

Ἀκολουθεῖ (φ. 53β) σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι μάρτυρες ὑπῆρχον ἐκ τῆς Ἑλλάδος· καὶ ὁ μὲν Λεωνίδης συνελήφθη [. . .]
Τελ.: [. . .] γενέσθαι δὲ τὴν μαρτυρίαν αὐτῶν πρὸ μιᾶς ἡμέρας τοῦ Πάσχα.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Εἰρήνης».
Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἥτις ἦν κατὰ τὸν καιρὸν τοῦ ἁγίου Πάσχα ἐν τῇ χώρᾳ τῆς Ἑλλάδος [. . .]
Τελ.: [. . .] καὶ τοὺς ὀδόντας ἐκριζωθεῖσα, τὴν κεφαλὴν ἀποτέμνεται.

ιζ' «Μη(νὶ) τῷ αὐτῷ ιζ'. Μνήμη τοῦ ἁγίου ἱερομ(άρτυ)ρ(ος) Συμεὼν ἀρχιεπισκόπου Περσίδος, καὶ τ(ῶν) σὺν αὐτῷ· Ἀβδελᾶ πρεσβυτέρου· Χουσδαζὰτ καὶ Φουσὴκ· καὶ ἑτέρων χιλίων ἑκατ(ὸν) πεντήκοντα».

Ἐπίσκοπόν σε Συμεὼν ἐγὼ μέγαν,
(φ. 54α) ἐκ δὲ ξίφους μέγιστον ἀθλητὴν ἔγνων.

Ἄρκτου τὸ δεινὸν Ἀβδελᾶς ἔδυ στόμα,
βδέλλης ἀπλήστου τοῦ σατᾶν φυγὼν στόμα.

Ἐπιτραπέντος τοῦ θύειν ἢ τεθνάναι,
θανεῖν Χουσδαζὰτ εἵλετο τμηθεὶς ξίφει.

Τὸ δέρμα Φουσὴκ ἐκδεδάρθω μοι λέγει,
χιτὼν ὑφανθείς[2], τοῦ σατανᾶ τῇ κρόκῃ.

Τέμνουσιν ἀνδρῶν τριπλοπεντηκοντάδα,
τὴν τριπρόσωπον προσκυνοῦσαν οὐσίαν.

Πίπτουσι Περσῶν ἀμφὶ χιλίους ξίφει,
ἰδὼν ἔφης ἂν Παῦλε μαρτύρων νέφος.

Ἑβδομάτῃ Συμεὼν δεκάτῃ ἀπὸ αὐχένα ἐτμήθη.

1. Δίχνην cod. 2. ὑφανθὲν cod.

Ἀκολουθεῖ (φ. 54α-β) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Κτησιφῶν καὶ Σαλὴκ ἡγεμονεύοντες ἐν ταῖς κατὰ Περσίδα πόλεσι [. . .]
(φ. 54β) Τελ.: [. . .] καὶ τὸ τῆς σαρκὸς δέρμα ἀφαιρεῖται· καὶ οὕτ(ω) τὴν ψυχὴν ἀποτίθησι τῷ Θ(ε)ῷ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Ἀδριανοῦ».

Ἂν οὐκ ἔγνως τίς (ἦν) ὁ φλογὸς μέσον,
γλώσσῃ λαλοῦντος Ἀδριανὲ καρτέρει.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Καὶ ὁ μάρτυς Ἀδριανὸς εἷς ἦν τῶν ποτὲ κρατηθέντων καὶ διαφόροις φυλακαῖς παραπεμφθέντων [. . .]
Τελ.: [. . .] ἐνέβαλον αὐτὸν ἐν τῇ καμίνῳ· καὶ οὕτως ἐτελειώθη.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀγαπητοῦ πάπα Ῥώμης».

Ἀλλ' ἠγαπήθης Ἀγαπητὲ καὶ πλέον,
θνήσκων τί[1] κράζεις, σ(ῶτ)ερ ἠγάπησά σε.

Ἀκολουθεῖ (φφ. 54β - 55α) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν ἦν κατὰ τοὺς χρόνους Ἰουστινιανοῦ τοῦ βασιλέως· δι' ἀσκήσεως (καὶ) ἀρετῆς τραφεὶς [. . .]
(φ. 55α) Τελ.: [. . .] τελεῖτ(αι) δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις ἀποστόλοις τοῖς μεγάλοις.

ιη' «Μη(νὶ) τῷ αὐτῷ ιη'. Μνήμη τοῦ ἁγίου μάρτυρος Σάβα τοῦ Γότθου».

Ὕπελθε Σάβα φθαρτὸν ἡδέως ὕδωρ,
ὡς ἂν πίνῃς ἄφθαρτον ἡδονῆς ὕδωρ.

Ἀκολουθεῖ (φ. 55α-β) σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους τῆς βασιλείας Οὐαλε<ν>τινιανοῦ τοῦ μεγάλου καὶ Οὐάλεντος· τὴν δ' ἰατρικὴν ἔχων ἐν Γοτθίᾳ [. . .]
(φ. 55β) Τελ.: [. . .] ἐπιτεθέντος αὐτῷ ξύλου ἐπὶ τοῦ τραχήλου καὶ ἀπεπνίγη· ἔτος ἄγων τῆς ἡλικίας τριακοστὸν ὄγδοον.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγί(οις) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Κοσμᾶ, ἐπισκόπου Καρχηδόνος».

Θραύσας μέλη σὰ καὶ μεταστάς σου βίε,
ἔξω βελ(ῶν) ὑπῆρξε Κοσμᾶς ὡς λόγος.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἐκ σπαργάνων καθάρας ἑαυτὸν ἐν ἀγῶσιν ἀσκητικοῖς [. . .]
Τελ.: [. . .] ὅθεν καὶ τῶν ἀποστόλων ἐν οἴκῳ ἁγίῳ τὸ σῶμα αὐτοῦ ἀπετέθη.

1. θνήσκων τί: θνήσκοντι cod.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Ἀθανασί(ας) τῆς θαυματουργοῦ».

Ἀκολουθεῖ (φφ. 55β - 57α) συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ἡ ἀοίδιμος ἡ τῆς ἀθανασίας ἐπώνυμος, γεννᾶται ἐν νήσῳ τινὶ Αἰγίνῃ ὀνομαζομένῃ [. . .]

(φ. 57α) Τελ.: [. . .] τὴν ἔκβασιν διὰ τῆς ὀπτασίας ἰδοῦσαι, τῷ Θ(ε)ῷ ηὐχαρίστησαν τῷ οὕτω δοξάζοντι τοὺς ἀγαπῶντας αὐτόν.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχα Τετράδα τῆς Μεσοπεντηκοστῆς».

Ἑστὼς διδάσκει τῆς ἑορτῆς ἐν μέσῳ,
Χ(ριστὸ)ς μεσίας τῶν διδασκάλων μέσον.

ιθʹ «Μη(νὶ) τῷ αὐτ(ῷ) ιθʹ. Μνήμη τοῦ ἁγίου μάρτ(υ)ρ(ος) Θεοδώρου τοῦ ἐν Πάργῃ τῆς Παμφυλίας».

Κοινωνὸς ὤφθης Θεόδωρε τοῦ πάθους,
τῷ καὶ παθητῷ καὶ παθῶν ὑπερτέρῳ.
Ἀμφ' ἐνάτην δεκάτην Θεοδώρῳ στ(αυ)ρὸς ἄεθλος.

Ἀκολουθεῖ (φφ. 57α - 59α) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Ἐπὶ τῆς βασιλείας Ἀντωνίνου· ἡγεμονεύοντος Θεοδώρου ἐν Πέργῃ τῆς Παμφυλίας, μετὰ πολλῆς σπουδῆς ἐποίουν συλλογὴν νέων καὶ εὐειδῶν καὶ ὡραίων [. . .]

(φ. 59α) Τελ.: [. . .] τὰ τῶν ἁγίων λείψανα μύροις καὶ ὀθονίοις περιστείλαντες, ἐν ἐπισήμῳ τόπῳ κατέθεντο.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Φιλίππα, ἡ μ(ήτ)ηρ τοῦ ἁγίου Θεοδώρου, ξίφει τελειοῦται».

Φιλῶ Φιλίππαν ὡς ἀθλητοῦ μ(ητέ)ρα,
φιλῶ Φιλίππαν ὡς ἀθλοῦσαν ἐκ ξίφους.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ πιστεύσαντες στρατιῶτ(αι) Σωκράτης καὶ Διωνᾶς, λόγχαις νυγέντες, τελειοῦνται».

Ἔνυξε λόγχῃ νεκρὸν Ὕψιστον πάλαι,
νύττει δὲ καὶ νῦν μάρτυρας ζῶντας δύο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Γεωργ(ίου) ἐπισκόπου Ἀντιοχεί(ας) τῆς Πισιδίας τοῦ ὁμολογητοῦ».

Ὁ Γεώργιος ὡς γεώργιον μέγα,
ἔχων ἀπῆλθεν εἶδος ἀρετῶν ἅπαν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἐπὶ τῶν χρόνων ἦν τ(ῶν) εἰκονομάχων· ἐκ βρέφ(ους) τῷ Θ(ε)ῷ ἀνατεθειμένος [. . .]

Τελ.: [. . .] ἐν ἐξορίᾳ καὶ κακουχίᾳ θανών, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

(φ. 59β) «Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν, ‖ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Τρύφωνος· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτη μεγάλῃ ἐκκλησίᾳ».

Θ(εὸ)ν ποθήσας ὁ τρυφὴν μισῶν Τρύφων,
Θ(εο)ῦ παρέστη τῷ κατοικητηρίῳ.

κ' «Μη(νὶ) τῷ αὐτῷ κ' Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Θεοδώρου τοῦ Τριχινᾶ.

Θνήσκεις ὁ πλήξας τριχίνῃ στολῇ π(άτ)ερ,
τὸν ἐνδύσαντα τοὺς γενάρχας φυλλίνην.
Εἰκάδι σὸς Θεόδωρε λίπ' ὀστέα[1] θυμὸς ἀγήνωρ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος πάσῃ κακουχίᾳ καὶ σκληραγωγίᾳ ἑαυτὸν ὑποβαλὼν [. . .]
Τελ.: [. . .] τοῖς προστρέχουσι πόθῳ καὶ τὴν σ(ωτη)ρίαν κομιζομένοις.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Βίκτωρος· Ζωτικοῦ· Ζήνωνος· Ἀκινδύνου· Καισαρίου· Σεβηριανοῦ· Χριστοφόρου· Θεωνᾶ καὶ Ἀντωνίνου».

Σὺν Ἀκινδύνῳ τέσσαρας κτείνει ξίφος,
τὸν ἐκ πλάνης κίνδυνον ἐκπεφευγότας.

Καμινιαίας αἰθάλης πεπλησμένοι,
Χ(ριστ)ῷ προσῆλθον οἱ περὶ Χριστοφόρον.

Ἀκολουθεῖ (φφ. 59β - 60α) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι πάντες ἐπὶ Διοκλητιανοῦ τοῦ δυσσεβοῦς, τὸν τοῦ μαρτυρίου δρόμον διήνυσαν [. . .]
(φ. 60α) Τελ.: [. . .] καὶ τέλος ἐν πυρὶ βληθέντες, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσαντο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν). Ἰωάννου τοῦ Παλαιολαυρίτου».

Νέον τι κέρδος τὸν Παλαιολαυρίτην
Ἰωάννην χαίρουσιν εὑρόντες νόες.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἐξ ἁπαλῶν ὀνύχων θείῳ πόθῳ τρωθείς, τῷ Θ(ε)ῷ προσεκολλήθη [. . .]
Τελ.: [. . .] καὶ καλῶς τελέσας πᾶσαν ἰδέαν ἀρετῆς, τῶν τῇδε μετέστη.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Παφνούτιος ὁ Ἱεροσολυμίτ(ης) ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Τὸν Παφνούτιον γῆς τάφῳ κεκρυμμένον,
ἀπεικός ἐστι καὶ σιγῆς κρύψαι τάφῳ.

1. λίπ' ὀστέα: λίπωστέα cod.

«Τῇ αὐτ(ῇ) ἡμέρᾳ ὁ ἅγιος Ἀναστάσιος, ἐπίσκοπος Ἀντιοχείας, ξίφει τελειοῦτ(αι)».

Ἀναστάσιε σοῦ δὲ τί γράψω χάριν,
Χ(ριστο)ῦ χάριν σπεύδοντος ἐκθανεῖν ξίφει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου ἀποστόλου Ζακχαίου».

κα' «Μηνὶ τῷ αὐτῷ κα'. Μνήμη τῶν ἁγίων μαρτύρων ·Ἰαννουαρίου ἐπισκόπου· Πρόκλου· Σόσσου· καὶ ἑτέρων τῶν διακόνων· Δεισιδερίου ἀναγνώστου· Εὐτυχίου καὶ Ἀκουτίωνο(ς)».

(φ. 60β) Τὸν Ἰαννουάριον ἄνδρα γεννάδα,
ἀπρίλλιος μὴν εἶδεν ἐκτετμημένον.

Σὺν τῷ Προβούλῳ Σόσσον ἀλλὰ (καὶ) Φέστον,
πρὸ κολεοῦ κύψαντας, ἔκτεινε ξίφος.

Δεισιδέριο(ς) τὴν δέρριν δοὺς τῷ ξίφει,
τομὴν ὑπέστη καὶ παρέστη Κ(υρί)ῳ.

Φωνῆς ἀκουτίσθητι τῆς Εὐτυχίου,
λέγοντος, Ἀκούτιε συντμήθητί μοι.

Ἰαννουαρίοιο κάρην τάμον εἰκάδι πρώτῃ.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Τιμοθέου ἄρχοντος Καμπανίας· οἳ καὶ ὑπεβλήθησαν πικραῖς τιμωρίαις [. . .]
Τελ.: [. . .] συνελθόντες εἰς τὴν κηδείαν τοῦ νέου, ἐξεθαμβήθησαν· δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θ(εό)ν.

(φ. 60β) «Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Ἀλε || ξανδρίας τῆς βασιλίσσης».

Ἤδει μὲν οὖσαν[1] πρόξενον λαμπηδόνος,
τὴν ἐν ζόφῳ κάθειρξιν Ἀλεξανδρία.

Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἀλεξανδρία ἡ τοῦ Χ(ριστο)ῦ μάρτυς, ἣν γυνὴ Διοκλητιανοῦ[2] τοῦ βασιλέως [. . .]
Τελ.: [. . .] καὶ τῷ Θ(ε)ῷ προσευξαμένη, παρέδωκεν αὐτῷ τὴν ψυχήν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸς) ἡμῶν Ἀναστασίου τοῦ Σιναΐτου».

Ἀναστάσιος ἐν Σινᾷ Μωσῆς νέος,
καὶ πρ(ὶν) τελευτ(ῆς) τὸν Θ(εὸ)ν βλέπειν ἔχων.

1. μὲν οὖσαν: μενούσης cod. 2. Διοκλητιανοῦ cod.

Ἀκολουθεῖ (φ. 61α-β) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν, καταλιπὼν τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ καὶ τὸν στ(αυ)ρὸν ἀναλαβὼν [. . .]
(φ. 61β) Τελ.: [. . .] καὶ ψυχωφελεῖς λόγους συνθείς, ἐν βαθυτάτῳ γήρᾳ, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Μαξίμου, ἀρχιεπισκόπου Κωνσταντινουπόλ(εως)».

Χρισθεὶς ἐλαίῳ πν(εύματο)ς πρὸ τοῦ τέλους,
ἄληπτος ὤφθης πνεύμασι πλάνης πάτερ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἐκ τῆς παλαιᾶς ὥρμητο Ῥώμ(ης)· υἱὸς γεγονὼς πλουσίων καὶ εὐγενῶν γονέων [. . .]
Τελ.: [. . .] ἐν εἰρήνῃ ἀνεπαύσατο· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων· Ἀπολλῶ· Ἰσαακίου καὶ Κοδράτου».

Λιμαγχόνην οἴσαντες ἀθληταὶ δύο,
ψυχοκτόνον φεύγουσι δαιμοναγχόνην.

Ζωμοὺς χύτρας σῆς τ(οὺς) ἱδρῶτας Κοδράτε,
ἅλατι τμηθεὶς αἱμάτ(ων) παραρτύεις.

Ἀκολουθεῖ (φφ. 61β - 62α) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι τρεῖς μάρτυρες [. . .] θεράποντες ὑπῆρχον Ἀλεξανδρίας τῆς βασιλίσσης [. . .]
(φ. 62α) Τελ.: [. . .] τῷ λιμῷ πιεσθέντες, ἀπέδωκαν τὰς ἑαυτῶν ψυχὰς τῷ Κ(υρί)ῳ.

κβ' «Μη(νὶ) τῷ αὐτῷ κβ'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν καὶ θαυματουργοῦ Θεοδ(ώ)ρ(ου) τοῦ Συκεώτου».

Καὶ Θεοδώρῳ καὶ νεκρῷ Θεοδώρου,
τὸ θαυματουργεῖν δῶρον ἐκ Θ(εο)ῦ μέγα.

Ἀκολουθεῖ (φ. 62α-β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὥρμητο ἐκ τῆς τῶν Γαλατῶν χώρας· ἐκ χωρίου λεγομένου Συκεοῦ [. . .]
(φ. 62β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Νέαρχος πυρὶ τελειοῦται».

Τοῦ πρὸς σὲ σ(ῶτ)ερ ἐμπύρου θείου πόθου,
Νέαρχος εἶπεν οὐδὲ πῦρ με χωρίσει.

«Τῇ αὐτ(ῇ) ἡμέρᾳ ἡ ἀνάμνησις τῆς πρὸς τὸν Χ(ριστὸ)ν ἀναγνωρίσεως τοῦ ἁγίου ἀποστόλου Ναθαναήλ· ὅς ἐστι Σίμων ὁ Ζηλωτής».

Τὸν Ναζαρηνὸν γνοὺς Ναθαναὴλ μέγαν,
τὴν Ναζαρὲτ σίγησον ἄχρηστον λέγων.

Ἀκολουθεῖ (φφ. 62β - 63α) σύντομον συναξάριον τοῦ ἁγίου.

Ἄρχ.: Οὗτος ἦν ἀπὸ Κανᾶ πόλεως τῆς Γαλιλαί(ας)· ἔνθα ὁ Χ(ριστὸ)ς καὶ Θ(εὸ)ς ἡμῶν εἰς γάμον κληθεὶς [. . .]
(φ. 63α) Τελ.: [. . .] κηρύττων αὐτὸν ὡς Θ(εό)ν, ἐτελειώθη.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων, Ἀπελλοῦ· Λουκᾶ (καὶ) Κλήμ(εν)τος».

Ἀκολουθεῖ σύντομον συναξάριον.

Ἄρχ.: Οὗτός ἐστιν οὐχ ὁ Ἡρακλείας ἐπίσκοπος· ἀλλ' ὁ γεγονὼς πρῶτος ἐπίσκοπος Σμύρνης [. . .]
Τελ.: [. . .] πειρασμοῖς οὐκ ὀλίγοις περιπεσόντες, πρὸς Κ(ύριο)ν ἀνέδραμον.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχα Κυριακὴ τῆς Σαμαρείτιδο(ς)».

Ὕδωρ λαβεῖν ἐλθοῦσα τὸ φθαρτὸν γύναι,
τὸν ζῶν ἀπαντλεῖς ὡς ῥύπους ψυχῆς πλύνης.

κγ' «Μηνὶ τῷ αὐτῷ κγ'. Μνήμη τοῦ ἁγίου [. . .] Γεωργίου τοῦ Τροπαιοφόρου».

Ἐχθροὺς ὁ τέμνων Γεώργιος ἐν μάχαις,
ἑκὼν παρ' ἐχθροῦ τέμνεται διὰ ξίφους.
Ἦρε Γεωργίου τρίτῃ εἰκάδι αὐχένα χαλκός.

Ἀκολουθεῖ (φφ. 63α - 66α) διήγησις τοῦ βίου καὶ τριῶν θαυμάτων τοῦ ἁγίου.

— Βίος. - Ἄρχ.: Οὗτος ὁ ἔνδοξος (καὶ) θαυμαστὸς καὶ μέγας μάρτυς Γεώργιος, κατὰ τοὺς χρόνους ἦν Διοκλητιανοῦ τοῦ βασιλέως· ἐκ χώρας τῆς Καππαδοκῶν [. . .]
(φ. 64α) Τελ.: [. . .] καὶ ὁ μὲν ἅγιος τὴν κεφαλὴν ἀπετμήθη [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρίῳ τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

— Α' θαῦμα. - Ἄρχ.: Πρῶτον θαῦμα· ἔχει οὕτως: Ἐν τοῖς μέρεσι τῆς Συρίας κάστρον ἐστὶ λεγόμενον Ῥάβλιον [. . .]
(φ. 65α) Τελ.: [. . .] εἰς μνήμην τῆς γυναικὸς ἄληκτον καὶ τοῦ θαύματος ἔκπληξιν.

— Β' θαῦμα. - Ἄρχ.: Τὸ δὲ γενόμενον ἐν Μυτιλήνῃ καταπλήττει πᾶσαν ἀκοὴν καὶ ἔννοιαν [. . .]
(φ. 65α) Τελ.: [. . .] δι' ὅλης τῆς νυκτὸς ὕμνους καὶ εὐχαριστί(ας) τῷ παντοκράτορι Θ(ε)ῷ ἀπέδωκαν.

— Γ' θαῦμα. - Ἄρχ.: Καὶ ἐν τῷ θέματι τῆς Παφλαγονίας ναός ἐστι περίδοξος τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου [. . .]
(φ. 66α) Τελ.: [. . .] καὶ οὐκ ἐν τούτῳ μόνον, ἀλλὰ καὶ εἰς τὸ Ἱπποκέφαλον καὶ ἐν ἄλλοις εὐκτηρίοις.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Οὐαλλέριος ξίφει τελειοῦται».

Θείαν κεφαλὴν ἦρεν Οὐαλλερίου,
κακὴ κεφαλὴ δήμιος διὰ ξίφους.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Ἀνατόλιος ξίφει τελειοῦτ(αι)».

Δύσας Ἀνατόλιος ἐκτομῇ κάρας,
ἑῷον εἶδε φῶς νοητὸν Κ(υρίο)υ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Πρωτολέων ξί(φει) τελειοῦται».

Ὁ Χριστομάρτυς τέμνεται Πρωτολέων,
(φ. 66β) Χ(ριστ)ῷ πεποιθώς, ὥσπερ ἀλκέων λέων.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ἀθανάσιος ὁ ἀπὸ μάγων ξίφει τελειοῦται».

Ἀθανάσιος φαρμακὸς τομὴν κάρας,
ψυχῆς νοσούσης εὗρε φάρμακον ξένον.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Γλυκέριο(ς) ὁ γεωργὸς ξίφει τελειοῦται».

Λαιμὸν σὸν εἰς γῆν· ὡς ὕνιν (δὲ) τὴν σπάθην,
γεωργὲ Γλυκέριε προσφόρως κρίνω.

κδ' «Μη(νὶ) τῷ αὐτῷ κδ'. Μνήμη τοῦ ἁγίου μάρτυρος Σάβα τοῦ στρατηλάτου».

Ἔπνιξε δεινὰ πνεύματα πλάνης Σάβας,
ποταμόπνικτο(ς) μάρτυς ὀφθεὶς Κ(υρίο)υ.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὁ ἅγιος μάρτυς, κατὰ τοὺς χρόνους ἦν Αὐρηλιανοῦ τοῦ βασιλέως, ἐν Ῥώμῃ τὴν τοῦ στρατηλάτου διέπων ἀρχὴν [. . .]
Τελ.: [. . .] τὸν ἄνδρα καὶ στρατιώτην ἄκρως ὑπέφαινον.

(φ. 67α) «Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ διὰ τοῦ ἁγίου Σάβα πιστεύσαντες τῷ Χ(ριστ)ῷ ἑβδομήκοντα στρατιῶται ξίφει τελειοῦνται».

Κάρας ἀριθμῶν τὰς ξίφει τετμημένας,
εὕροις πεσόντας ἄνδρας ἑπτάκις δέκα.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας Ἐλισάβετ τῆς θαυματουργοῦ».

Ἐλισάβετ λιποῦσα γῆν Θ(εο)ῦ λόγε,
καλὴ καλὸν βλέπει σε νύμφη νυμφίον.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Ἥτις ἐν ἁπαλῷ τῷ σώματι ἀσκητικοὺς πόνους ὑπελθοῦσα [. . .]
Τελ.: [. . .] χοῦς γὰρ ἐκ τῆς σοροῦ αὐτῆς λαμβανόμενος θεραπεύει πᾶσαν νόσον.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων μαρτύρων Πασικράτους καὶ Βαλεντίωνος».

Πασικράτης ἤρατο τμηθεὶς κράτος,
Βαλεντίωνος ἐκβαλὼν φόβον ξίφος.

Ἀκολουθεῖ (φφ. 67α - 68β) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐκ Δοροστόλου τῆς Μυσίας· ἐν λεγεῶνί τινι στρατευόμενοι [. . .]
(φ. 68β) Τελ.: [. . .] τὰς κεφαλὰς ἀπετμήθησαν· ὁ μὲν ἅγιο(ς) Πασικράτης, ἐτῶν δύο καὶ εἴκοσιν· ὁ δὲ ἅγιος (φ. 69β) Βα||λεντίων, τριάκοντα.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων· Εὐσεβίου· Νέωνος· Λεοντίου καὶ τῶν σὺν αὐτοῖς».

Ἀριθμὸν ἰσάμιλλον ὀκτὼ μαρτύρων,
τὸν ἰσάκις τέμνουσιν, ἶσον ἰσάκις.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Μετὰ τελευτὴν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, προσέταξεν ὁ Διοκλητιανὸς [. . .]
Τελ.: [. . .] καὶ τὰ σπλάγχνα αὐτῶν ἔνδον ἐφάνησαν· (καὶ) τέλος, ξίφει τὰς ἱερὰς αὐτῶν ἀπετμήθησαν κεφαλάς.

κε′ «Μηνὶ τῷ αὐτῷ κε′. Μνήμη τοῦ ἁγίου ἐνδόξου [. . .] καὶ εὐαγγελιστοῦ Μάρκου».

Σύροντες εἰς γῆν Μάρκον οἱ μιαιφόνοι,
πρὸς οὐ(ρα)νὸν πέμποντες αὐτὸν ἠγνόουν.
Εἰκάδι πέμπτῃ Μάρκον ἐνὶ χθονὶ ἄφρονες ἕλκον.

Ἀκολουθεῖ (φ. 68α-β) συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Ὁ πανεύφημος ἀπόστολος Μάρκος πάσῃ τῇ Αἰγύπτῳ καὶ Λιβύῃ [. . .]
(φ. 68β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τῷ ὄντι πλησίον τοῦ Ταύρου.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τῶν ἐγκαινί(ων) τοῦ σεπτοῦ ἀποστολείου τοῦ ἁγίου καὶ πανευφήμου κορυφαίου τῶν ἀποστόλων Πέτρου [. . .]».
«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Μακεδόνιος, π(ατ)ριάρχης Κωνσταντινουπόλεως, (φ. 69α) ‖ ἐν εἰρήνῃ τελειοῦται».

Ἐκστὰς Μακεδόνιε τοῦ φθαρτοῦ θρόνου,
ὑμνεῖς τὸ θεῖον σὺν σεραφὶμ καὶ θρόνοις.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία μάρτυς Νίκη ξίφει τελειοῦται».

Νίκης βραβεῖα τῇ τετμημένῃ Νίκῃ
νίκης βραβεὺς δίδωσιν ὡς νικηφόρῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ὁσιομάρτυρες ὀκτὼ καὶ ἀναχωρηταὶ ξίφει τελειοῦνται».

Ὀκτὼ συνεκκόπτουσιν ἀνδρῶν αὐχένας,
ὑπὸ ζυγὸν σὸν τοὺς δαμασθέντας λόγε.

κς′ «Μηνὶ τῷ αὐτῷ κς′. Μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Βασιλέως, ἐπισκόπου Ἀμασείας».

Τμηθεὶς Βασιλεῦ, βασιλεὺς πόλου γίνῃ,
ἐξ αἱμάτων σῶν βάμμα κόκκινον φέρων.

Ἀκολουθεῖ (φ. 69α-β) συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Ὁ ἔνδοξος τοῦ Χ(ριστο)ῦ μάρτυς Βασιλεὺς ἦν ἐπίσκοπος τ(ῆς) ἐν Ἀμασείᾳ μ(ητ)ροπόλεως· κατὰ τοὺς χρόνους Λικινίου [. . .]

(φ. 69β) Τελ.: [. . .] εἰς τὴν Ἀμάσειαν παρέπεμπαν· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Γλαφύρα ἐν εἰρήνῃ τελειοῦται».

Θ(εὸ)ν Γλαφυρὴ ψυχικῶν δι' ὀμμάτων,
οὐ γλαφυρῶς νῦν, ἀλλὰ τηλαυγῶς βλέπει.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Ἰούστα ἐν εἰρήνῃ τελειοῦται».

Τρόπον σελήνης πλησιφαοῦς Ἰούσταν,
λάμψασαν ἔργοις, μνήματος κρύπτει νέφος.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Νέστωρ, τοὺς γονεῖς καταλιπὼν καὶ μονάσας, ἐν εἰρήνῃ τελειοῦται».

Τοὺς οὐ(ρα)νοὺς ἱδρῶσι, Νέστωρ, ἐπρίω,
δι' οὓς φύσιν τύραννον ἠρνήσω φύσει[1].

κζ' «Μη(νὶ) τῷ αὐτῷ κζ'. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Συμεὼν τοῦ (φ. 70α) || συγγενοῦς τοῦ Κ(υρίο)υ».

Ἀδελφὰ πάσχει Συμεὼν τῷ Κ(υρί)ῳ,
ξύλῳ κρεμασθεὶς ὡς ἀδελφὸς Κ(υρίο)υ.
Ἐν ξύλῳ ἑβδομάτῃ Συμεὼν πάγη εἰκάδι μακρῷ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Τοῦτον αὐτὸν ὁ Χ(ριστὸ)ς καὶ Θ(εὸ)ς ἡμῶν ὡς συγγενῆ προσλαβόμενος [. . .]
Τελ.: [. . .] (καὶ) ἀδελφὸς Ἰακώβου· καὶ αὐτοῦ τοῦ Χ(ριστο)ῦ ἐχρημάτισεν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν καὶ ὁμολογητοῦ Ἰω(άνν)ου, ἡγουμένου μονῆς τῶν Καθαρῶν».
Ἀκολουθεῖ (φφ. 70α - 71α) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος Ἰω(άννης) γεννᾶται εἰς Εἰρηνούπολιν, μίαν οὖσαν τῆς Δεκαπόλεως [. . .]
(φ. 71α) Τελ.: [. . .] καὶ ἀναγγείλας τοῖς σὺν αὐτῷ τὴν μετάθεσιν αὐτοῦ, μετὰ τρεῖς ἡμέρας ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων· Ἀριστάρχου· Μάρκου καὶ Ζήνωνος».
Ἀκολουθεῖ σύντομον συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Ὁ θεῖος οὗτος Ἀρίσταρχος ἐκ τῶν ἑβδομηκονταδύο ἐστίν, οὗ Παῦλος μέμνηται [. . .]
Τελ.: [. . .] καὶ ἰάσεων αὐτουργοὶ γεγονότες, πρὸς Κ(ύριο)ν ἐξεδήμησαν.

1. φύσιν cod.

(φ. 71β) «Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ποπλίων, ‖ μαχαίρᾳ τμηθείς, τελειοῦται».

Σφαγεὶς Ποπλίων, αἷμα σὸν Χ(ριστ)ῷ χέεις,
ὃς ἠγοράσθης αἵματι Χ(ριστο)ῦ πάλαι.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Εὐλόγιος ὁ Ξενοδόχος ἐν εἰρήνῃ τελειοῦται».

Τὸν Εὐλόγιον τὸν ξενιστὴν τῶν ξένων,
Χ(ριστο)ῦ ξενιστὴς Ἀβραὰμ ξενιζέτω.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Λολλίων ὁ νέος, κατὰ γῆς συρόμενο(ς), τελειοῦται».

Κονίεται τὸ σῶμα μάρτυς Λολλίων,
κόνει φύρεσθαι τὴν ἀπ' αὐτοῦ δοὺς κόνιν.

κη' «Μηνὶ τῷ αὐτῷ κη'. Μνήμη τῶν ἁγίων ἀποστόλων Ἰάσωνος καὶ Σωσιπάτρου».

Ζωῆς Ἰάσων λαμβάνει φθαρτῆς πέρ(ας),
ἀλλ' εὗρεν ἄλλην, μὴ πέρας κεκτημένην.

Θανόντι δόξαν σοῦ προσώπου δεικνύεις,
σὺν Σωσιπάτρῳ τοῦ Θ(εο)ῦ λόγου π(άτ)ερ.

Εἰκάδι ὀγδοάτῃ Ἰάσων ἀπεβήσατο γαίης.

Ἀκολουθεῖ (φφ. 71β - 72β) συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Τούτων ὁ μὲν Ἰάσων Ταρσεὺς ἦν· ὃς καὶ πρῶτος ζωγραφεῖται πρὸς τὴν εὐσέβειαν [...]
(φ. 72β) Τελ.: [...] ἐν γήρει πίονι καταλύει τὸν βίον· καὶ πρὸς τὸν ποθούμενον διαβαίνει.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ διὰ τοῦ ἀποστόλου Ἰάσωνος πιστεύσαντες τῷ Χ(ριστ)ῷ ἑπτὰ λῃσταὶ ἐν λέβητι πίσσης βληθέντες τελειοῦνται».

Λῃσταὶ μαθόντες τὴν Ἐδὲμ λῃστοῦ λάχος,
πίσσης λαχ(εῖν) ἔσπευσαν αὐτὴν ἐμφλόγω(ς).

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ (φ. 73α) ‖ ἁγία Κέρκυρα, ἡ τοῦ βασιλέ(ως) θυγάτηρ, βέλεσι κατατρωθεῖσα, τελειοῦται».

Βελῶν βασιλὶς ταῖς βολαῖς ἐστιγμένη,
ἐκ στιγμάτων ἔλαμψεν ὡς ἐκ μαργάρων.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Εὐσέβιος πυρὶ τελειοῦται».

Ἐκ σοῦ τὸ πῦρ ὁποῖον ἐκσμήξει ῥύπον,
εὔριζον[1] Εὐσέβιε Χ(ριστο)ῦ χρυσίον.

1. εὔροιζον cod.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρες Βιτάλιος καὶ Ζήν(ων) πυρὶ τελειοῦνται».

Μὴ δειλιάσῃς Βιτάλιε πρὸς φλόγ(α),
ἡγήσομαι γὰρ καὶ προεισέλθω Ζήνων.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Νέων, πυρὶ τελειοῦται».

Θεοῖς λατρεύειν μὴ θέλων ἑλληνίοις,
καθεῖλε καυθεὶς πίστ(ιν) Ἑλλήνων Νέων.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα· Εὐόδου καὶ Ὀνησιφόρου».

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Οὗτοι ἐκ τῶν ἑβδομήκοντα εἰσίν· ὧν καὶ Παῦλος μέμνηται γράφων[. . .]
Τελ.: [. . .] ἀνέδραμον καὶ αὐτοὶ πρὸς τὸν ποθούμενον.

κθ′ «Μηνὶ τῷ αὐτῷ κθ′. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Μέμνωνος».

Ὑπνοῖ τι μικρὸν ἁρπαγὴν τὴν ἐσχάτην,
τὴν εἰσαπαντὴν τοῦ Θ(εο)ῦ Μέμνων μένων.
Εἰκάδι ἀμφ' ἐνάτῃ πινυτὸς[1] λάβε Μέμνωνα πότμος.

Ἀκολουθεῖ (φ. 73α-β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Μέμνων διὰ Θ(εὸ)ν ἀποταξάμενος [. . .]
(φ. 73β) Τελ.: [. . .] καὶ εὐαρεστήσας μέχρι τέλους, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων ἐννέα τῶν ἐν Κυζίκῳ· Θεόγνιδος· Ῥούφου· Ἀντιπάτρου· Θεοστίχου· Ἀρτεμᾶ· Μάγνου· Θεοδότου· Θαυμασίου, καὶ Φιλήμονος».

Εἰκὼν ἀΰλων ταγμάτων τῶν ἐννέα,
οἱ τὰς κάρας τμηθέντες ἄνδρες ἐννέα.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ θειότατοι μάρτυρες ἐκ διαφόρων χώρων ἀθροισθέντες [. . .]
Τελ.: [. . .] διὸ καὶ ἰατρεῖον ἄμισθον παθῶν ἀνεδείχθησαν.

«Διήγησις περὶ τοῦ γενομένου θαύματος [...] ἐν τῇ πόλει Καρταγένῃ».

Ἀρχ.: Ἐν τοῖς χρόνοις Ἡρακλείου τοῦ βασιλέως καὶ Νικήτα πατρικίου, ἐν Ἀφρικῇ θαῦμα γέγονε [. . .]
(φ. 74α) Τελ.: [. . .] καὶ τεσσαράκοντα ἡμέρας ἐπιβιοὺς ἄσιτος, κλαίων καὶ ὀδυρόμενος, πάλιν ἐκοιμήθη.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων, Διοδώρου· καὶ Ῥοδοπιανοῦ διακόνου· μαρτυρησάντων ἐν Ἀφροδισίᾳ τῆς Καρίας».

Ῥοδοπιανῷ καὶ Διοδώρῳ ῥόδα,
ἢ δῶρα μᾶλλον (φ. 74β) || ἦσαν οἱ πλῆκται λίθοι.

1. πινυτὸν cod.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι κατὰ τοὺς καιροὺς ὑπῆρχον Διοκλητιανοῦ τοῦ βασιλέως· καὶ διὰ τὴν εἰς Χ(ριστὸ)ν πίστιν [. . .]
Τελ.: [. . .] λιθολευστούμενοι, τῷ Κ(υρί)ῳ τὰ ἑαυτ(ῶν) παρέδωκαν πν(εύμ)ατα.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Πατρικίου, ἐπισκόπου Προύσ(ης), διήγησις περὶ κρίσεως μελλούσης καὶ τ(ῶν) ἐπὶ γῆς κολάσε(ω)ν».

Ἀρχ.: Ὁ ἅγιος ἱερομάρτυς Πατρίκιος λέγει ὅτι δύο τόπ(ους) ἡτοίμασ(εν) ὁ Θ(εό)ς· ἕνα πολλῶν ἀγαθῶν [. . .]
(φ. 75α) Τελ.: [. . .] ἐξελθὼν μετὰ λιτῆς ἐδεήθη τοῦ Θ(εο)ῦ καὶ κατεπαύθη.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχα Κυριακὴ τοῦ Τυφλοῦ».

Ὢ πτύσμα καινὸν ἐκ γαληνῶν χειλέων,
φανὲν γαληνὸν ταῖς μεμυκυίαις κόραις.

λʹ «Μηνὶ τῷ αὐτῷ λʹ. Μνήμη τοῦ ἁγίου ἀποστόλου Ἰακώβου· ἀδελφοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου».

Ὡς ἀμνὸς Ἰάκωβος ἀχθεὶς ἐσφάγη,
τῆς εὐσεβείας μηρυκίζων τοὺς λόγους.
Κτεῖνε μάχαιρα φονίοιο Ἰάκωβον τριακοστῇ.

Ἀκολουθεῖ (φ. 75α-β) συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος υἱὸς μὲν ἦν Ζεβεδαίου, ἀδελφὸς δὲ Ἰω(άνν)ου τοῦ Θεολόγου [. . .]
(φ. 75β) Τελ.: [. . .] δεύτερον μάρτυρα μετὰ Στέφανον, τῷ δεσπότῃ παραπέμψας Χ(ριστ)ῷ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Κλήμης, ὁ ποιητὴς τῶν κανόνων, ἐν εἰρήνῃ τελειοῦται».

Τέρψας ὁ Κλήμης γηγενεῖς ᾠδαῖς βίῳ,
ἀπῆλθε τέρψων ὥσπερ οἶμαι καὶ νόας.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Μάξιμος ξίφει, κ(α)τ(ὰ) μέσην τὴν γαστέρα πληγείς, τελειοῦται».

Μάξιμος εὑρὼν τὴν ξὶ συλλαβὴν μέσον,
τὸ γαστρὸς ἡμῖν μηνύει μέσον ξίφος.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέ(ως), ἐπισκόπου Ἀμασείας».

Χρὴ μηδὲν νεκρὸν λαμβάν(ειν) Βασιλέα,
βασιλέως θνήξαντα τοῦ ζῶντος χάριν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸς) ἡμῶν Δονάτου ἐπισκόπου».
Ἀκολουθεῖ (φφ. 75β - 76β) συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Θεοδοσίου τοῦ μεγάλου βασιλέως, ὁ [. . .] Δονάτος ἐπίσκοπος ἦν ἐν πόλει καλουμένῃ Εὐροίᾳ [. . .]
(φ. 76β) Τελ.: [. . .] καὶ εἰς τέλειον γῆρας ἐλάσας, ἀπῆλθε πρὸς τὸν Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ κατήχησις τοῦ ὁσίου (καὶ) θεοφόρου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἐφραίμ· περὶ ἐργασί(ας) ἀγαθῶν ἔργων καὶ περὶ τῆς Θ(εο)ῦ ἀνοχῆς».

Ἀρχ.: Ἤδη καιρὸς ἡμᾶς ἐπείγει, εἰς τὴν ἐργασίαν τῆς αἰωνίου ζωῆς [. . .]
(φ. 77α) Τελ.: [. . .] ἐπὶ πλεῖον παρατείνει τὸ ἔλεος διὰ τὴν ἄκραν αὐτοῦ φιλαν(θρωπ)ίαν καὶ ἀγαθότητα.

Γ' «Μ (ὴ ν) Μ ά ϊ ο ς· ἔχει ἡμέρ(ας) λα'· ἡ ἡμέρα ἔχει ὥρας ιδ' καὶ ἡ νὺξ ὥρας ι'».

α' «Εἰς τὴν πρώτην· μνήμη τοῦ ἁγίου προφήτου Ἱερεμίου».

(φ. 77β) Ψυχαὶ λιθώδεις καὶ ξέναι θείου φόβου,
λίθοις ἀνεῖλον θεῖον Ἱερεμίαν.
Πρώτῃ ἐν μαΐοιο λίθοις κτάνον Ἱερεμίαν.

Ἀκολουθεῖ (φφ. 77β - 78α) συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἐκ μήτρας ἡγιάσθη· ἦν δὲ ἐξ Ἀνανώθ·[1] ἐν δὲ Δάφναις τῆς Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ [. . .]
(φ. 78α) Τελ.: [. . .] εἰς ὀξὺ ἔχων καταλῆγον τὸ γένειον· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ [. . .] τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Βατᾶ τοῦ Πέρσου».

Καὶ τῷ Βατᾷ τμηθέντι τὴν κάραν ξίφει,
βατὰ πρεπόντως οὐ(ρα)νοῦ τὰ χωρία.

Ἀκολουθεῖ (φ. 78α-β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ Περσίδος· ἐκ προγόνων τὴν εἰς Χ(ριστὸ)ν πίστ(ιν) μεμαθηκὼς [. . .]
(φ. 78β) Τελ.: [. . .] μαχαίραις κατατέμνεται, καὶ τότε ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγ(ίου) μάρτ(υ)ρο(ς) Φιλοσόφου.
Ἀκολουθεῖ (φφ.78β - 79α) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ μέγας μάρτυς τοῦ Χ(ριστο)ῦ Φιλόσοφος ἐκ τῆς χώρας ὢν τῶν Ἀλεξανδρέων [. . .]
(φ. 79α) Τελ.: [. . .] οὕτως ἀγωνισάμενος ὁ γεννάδας καὶ μὴ ἡττηθείς, ἀπετμήθη τὴν κεφαλήν, καὶ χαίρει αἰωνίως ἐν οὐ(ρα)νοῖς.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ὁσία Ἰσιδώρα ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ἐκ γῆς ἀπέπτη πρὸς μελισσῶνας πόλου,
μέλισσα χρηστῶν πράξεων Ἰσιδώρα.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Σάβας, ἐν συκῇ κρεμασθεὶς ἀπὸ τῶν χειρῶν, τελειοῦται».

Ἤνεγκε καρπὸν πρώϊμον συκῆς κλάδος,
τὸν χειροδέσμοις ἐκκρεμάμενον Σάβαν.

1. Ἀναβὼθ cod.

«Τῇ αὐτῇ ἡμέρᾳ γίνεται τὰ ἐγκαίνια τῆς νέας ἐκκλησίας· καὶ ἀνέρχεται ὁ π(ατ)ριάρχης ἐν τῷ παλατίῳ· κἀκεῖθεν κατέρχεται μετὰ λιτ(ῆς) εἰς τὴν νέαν ἐκκλησίαν· καὶ λειτουργεῖ ἐκεῖσε τὴν κατὰ τύπον λειτουργίαν».

β' «Μηνὶ τῷ αὐτῷ β'. Μνήμη τῆς ἀνακομιδῆς τοῦ λειψάνου τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸς) ἡμῶν Ἀθανασίου τοῦ μεγάλου, ἀρχιεπισκόπου Ἀλεξανδρείας».

Ἀθανάσιε ποῦ κομίζῃ; Μὴ πάλιν,
καὶ νεκρὸν ἐξόριστον ἐκπέμπουσί σε;

Ἀκολουθεῖ (φ. 79α-β) σύντομος διήγησις.

Ἀρχ.: Τούτου τὸν ἀγγελικὸν βίον καὶ τοὺς ὑπὲρ τῆς ὀρθοδοξίας πολλοὺς ἄθλους [. . .]
(φ. 79β) Τελ.: [. . .] ἡ δὲ συνήθως γενομ(έν)η ἀκολουθία ἐπ' αὐτῷ, ἐν τῇ ὀκτωκαιδεκάτῃ τοῦ ἰαννουαρίου προγέγραπται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Ἑσπέρου καὶ Ζωῆς τῆς συμβίου αὐτ(οῦ)· καὶ τῶν τέκνων αὐτῶν Κυριακοῦ καὶ Θεοδούλου».

Ζωῆς στερεῖ πῦρ Ἕσπερον, Ζωὴν ἅμα,
ζωὴν ποθοῦντας τὴν ἀνέσπερον μόνην.

Ζέοντας ἄρτους, συγγόνους δέχου δύο,
ἄρτι κλιβάνου σ(ῶτ)ερ ἐκβληθέντας.

Ἀκολουθεῖ (φφ. 79β - 80α) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι Ἕσπερος καὶ Ζωὴ ὑπῆρχον ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως· δοῦλοι μὲν ὄντες τὰ σώματα ἐν Ἰταλίᾳ [. . .]
(φ. 80α) Τελ.: [. . .] κατὰ ἀνατολ(ὰς) τετραμμένους· τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Σιλβανοῦ ἐπισκόπου».

Τοῦ λευκερύθρου Σιλβανοῦ λευκῆς κόμης
βαφεῖς ἀρίστους γῆρας οἶδα καὶ ξίφος.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ τῆς τῶν Γαζαίων χώρας· στρατιώτης τὸ πρότερον γεγονὼς [. . .]
Τελ.: [. . .] ὧν οἱ μὲν ἐξ Αἰγύπτου, οἱ δὲ ἐκ Παλαιστίνης ὑπῆρχον.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι τεσσαράκοντα μάρτυρες· ὧν οἱ μὲν ἐξ Αἰγύπτου, οἱ δὲ ἐκ Παλαιστίνης, ξίφει τελειοῦνται».

Ἤνεγκε διπλῆ μαρτύρων εἰκὰς ξίφος,
Αἴγυπτος οὓς ἤνεγκε καὶ Παλαιστίνη.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἰορδάνης ὁ θαυματουργὸς ἐν εἰρή(νῃ) τελειοῦτ(αι).

(φ. 80β) Κἂν εἰς μυχὸν γῆς ἐρρύης Ἰορδάνη,
ἐκχεῖς ἐκεῖθεν θαυμάτων Ἰορδάνην.

γ' «Μηνὶ τῷ αὐτῷ γ'. Μνήμη τῶν ἁγίων μαρτύρων· Τιμοθέου ἀναγνώστου· καὶ Μαύρας τῆς συζύγου αὐτοῦ».

Ἤπλωσε Χ(ριστὸ)ς χεῖρας ἐν στ(αυ)ρῷ πάλαι,
ἤπλωσε καὶ νῦν Μαύρα σὺν Τιμοθέῳ.
Τιμόθεον στ(αυ)ρῶσαν ἐνὶ τριτάτῃ μετὰ Μαύρας.

Ἀκολουθεῖ (φφ. 80β - 81α) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ἐν τῷ καιρῷ τοῦ διωγμοῦ κρατηθεὶς ὁ ἅγιος Τιμόθεος, παρεδόθη τῷ ἡγεμόνι [. . .]
(φ. 81α) Τελ.: [. . .] τῇ δὲ δεκάτῃ ἡμέρᾳ ἀπέδωκαν τῷ Κ(υρί)ῳ τὰς ἑαυτῶν ψυχάς.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Πέτρου τοῦ θαυματουργοῦ».

Ῥίψας τὸν ἐχθρὸν ἐν θεάτρῳ τῷ βίῳ,
ζωστῆρα νίκης ζωννύῃ θανὼν Πέτρε.

Ἀκολουθεῖ (φ. 81α-β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος τὴν Κωνσταντινούπολιν π(ατ)ρίδα ἔσχε· π(ατέ)ρων δ' ἔφυ θεοφιλῶν καὶ τὸν μονήρη βίον ἑλομένων [. . .]
(φ. 81β) Τελ.: [. . .] καὶ ὑποφαίνων τὴν μακαριότητα τῶν ἐκεῖθεν ἀγαθῶν αὐτὸν διαδεξαμένων.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι εἰκοσιεπτὰ μάρτυρες πυρὶ τελειοῦνται».

Βληθεῖσιν εἰς πῦρ ἀνδράσι τρὶς ἐννέα,
ἴαμα σῶτερ σή, τὸ τῆς Γραφῆς, δρόσος.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχα Ἀνάληψις τοῦ Κ(υρίο)υ ἡμ(ῶν) (φ. 82α) || Ἰ(ησο)ῦ Χ(ριστο)ῦ».

Σπουδῇ πύλας αἴρουσιν ἄγγελοι πόλου,
μὴ σπλάγχνα Θ(εὸ)ν αὖθις εἰς γῆν ἑλκύσῃ.

δ' «Μηνὶ τῷ αὐτῷ δ'. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ὀλβιανοῦ ἐπισκόπου καὶ τῶν σὺν αὐτῷ μαθητῶν».

Ἄφθαρτον ὄλβον Ὀλβιανὸς ἐλπίσας,
στοργῆς ὑπὲρ σῆς ὡλοκαυτώθη λόγε.
Ὀλβιανὸν κατέπεφνε τετάρτῃ θεσπιδαὲς πῦρ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, ἡγεμονεύοντος τῆς Ἀσίας Ἰουλίου Σέξτου Αἰλιανοῦ [. . .]
Τελ.: [. . .] τὸ τίμιον αὐτοῦ λείψανον ἐνεργεῖ, καθὼς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸς) ἡμῶν Ἱλαρίου τοῦ θαυματουργοῦ».

Ἔγνων τὸν Ἱλάριον ἱλαρὸν φύσει,
ὃς θαυματουργεῖ κἂν τάφῳ τεθειμένος.

Ἀκολουθεῖ (φ. 82α-β) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὃς ἐκ νεαρᾶς ἡλικίας τὸν στ(αυ)ρὸν τοῦ Χ(ριστο)ῦ ἐπ' ὤμων ἀράμενο(ς) [. . .]
(φ. 82β) Τελ.: [. . .] καὶ ἕτερα πλεῖστα ἐργασάμενος θαύματα, ἀνεπαύσατο ἐν Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Νικηφόρου, ἡγουμένου γενομένου μονῆς τοῦ Μηδικίου».

Τῆς ἀρετῆς τὸ θεῖον ἤρατο στέφος,
ὁ θεῖος ἀρθεὶς ἐκ βίου Νικηφόρος.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὁ ὅσιος Νικηφόρος ὑπῆρχε μὲν ἐπὶ τῶν εἰκονομάχων· ἐκ βρέφους δὲ ποθήσας τὸν Χ(ριστὸ)ν [. . .]
Τελ.: [. . .] τὴν ψυχώλεθρον ἀπάτην καταβαλών, πρὸς Χ(ριστὸ)ν ὃν ἐπόθησεν ἐξεδήμησ(εν).

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀθανασίου ἐπισκόπου Κορίνθου· ὃς κεκοίμηται ἐπὶ τῶν ἡμερῶν τῆς βασιλείας Βασιλείου (καὶ) Κωνσταντίνου. Καὶ μνήμη τῶν ἁγίων π(ατέ)ρων· Ἀφροδισίου· Λεοντίου· Ἀντωνίνου· Μιλδᾶ· Οὐαλλεριανοῦ καὶ Μακροβίου· καὶ τοῦ πλήθ(ους) τῶν σὺν αὐτοῖς ἐν Σκυθοπόλει μαρτυρησάντων. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ [. . .] τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τῆς Παναγίας [. . .] ἐν τοῖς Χαλκοπρατείοις».

Τίς οὗτος ὁ τράχηλον ἐκτείνων ξίφει,
(φ. 83α) Ἀφροδίσιος, Ἀ||φροδίσιος λέγει.

Ὁ Λεόντιος καὶ συναθληταὶ δύο,
λέοντες οἷον ἔδραμον πρὸς τὸ ξίφος.

Ὑπὲρ κεφαλὰς μαρτύρων ἀρθὲν δύο,
ἀθλητικὴν ἔπηξεν αὐτοῖς πῦρ στέγην.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τῆς ἀνακομιδῆς τῶν λειψάνων τοῦ ἁγίου Λαζάρου τοῦ φίλου τοῦ Χ(ριστο)ῦ· καὶ τῆς μυροφόρου Μαρίας τῆς Μαγδαληνῆς· γενομένη ἐπὶ Λέοντος τοῦ φιλοχρίστου βασιλέως. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις, ἐν τῇ εὐαγεστάτῃ μονῇ τῇ παρὰ τοῦ αὐτοῦ βασιλέως ἐπ' ὀνόματι τοῦ ἁγίου συστάσῃ [. . .]».

Σὺ καὶ νεκρὰ ζῇς· εἰ δὲ σιγᾷς τῇ πόλει,
ἔχει τις ὡς πρὶν ἔκστασίς σε Μαρία.

Φάσκει ραβουνὶ Μαρία Χ(ριστ)ῷ πάλιν,
λέγει Χ(ριστό)ς· τί, θάψαν ἄστυ με σκέπε.

ε' «Μηνὶ τῷ αὐτ(ῷ) ε'. Μνήμη τῆς ἁγίας μεγαλομάρτυρος Εἰρήνης».

Ξίφει θανοῦσα καὶ βιώσασα ξένως,
εἰρηνικῶς τέθνηκας αὖθις Εἰρήνη.
Εἰρήνη τμηθεῖσα ἀνέγρετο καὶ θάνε πέμπτῃ.

Ἀκολουθεῖ (φφ. 83α - 85α) συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη, θυγάτηρ ἦν μονογενὴς Λικινίου βασιλίσκου, καὶ Λικινίας μ(ητ)ρ(ὸ)ς [. . .] (φ. 85α) Τελ.: [. . .] τὰ δὲ τοῦ μαρτυρίου αὐτῆς ὑπομνήματα συνεγράψατο Ἀπελλιανὸς ὁ ταύτης διδάσκαλος.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Πελαγίας τῆς ἐκ Ταρσοῦ».

Ἄθλου πέλαγος ἐκπλέει Πελαγία,
νεωρίῳ[1] ναῦν, σάρκα δοῦσα καμίνῳ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως· ἀκούσασα δὲ περὶ τῆς εἰς Χ(ριστὸ)ν πίστεως [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρίῳ αὐτῆς τῷ ὄντι πέραν· πλησίον τοῦ ἁγίου μάρτυρος Κόνωνος.

ς′ «Μηνὶ τῷ αὐτ(ῷ) ς′. Μνήμη τοῦ ἁγίου καὶ δικαίου προφήτου Ἰώβ».

Εἰ καὶ θανὼν ἄληστος ἀνδρείας πέτρα,
(φ. 85β) καὶ π(ῶς), Ἰώβ, || κρύψω σε τῆς λήθης πέτρᾳ;
Ἕκτῃ Ἰὼβ πολύτλαν θανάτου τέλος ἀμφεκάλυψεν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐκ τῆς Αὐσίτιδος χώρας τῶν ὁρίων Ἰδουμαίας καὶ Ἀραβίας [. . .]
Τελ.: [. . .] ὡς εἶναι τὸν σύμπαντα χρόνον αὐτοῦ ἔτη διακόσια τεσσαρακοντακτώ.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ὅσιοι Μάμας· Παχώμιος καὶ Ἱλαρίων, ἐν εἰρήνῃ τελειοῦνται».

Ἱλαρίωνι καὶ Παχωμίῳ Μάμας,
συνεξεδήμει τὴν καλὴν ἐκδημίαν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Δημητρίων τοξευόμενος τελειοῦται».

Βέλη τὰ τιτρώσκοντα σάρκα καιρίως,
Δημητρίων ἡγεῖτο βέλη νηπίων.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Δάναξ σὺν τῷ ἁγίῳ Θηριανῷ καὶ Μεσίρῳ, ξίφει τελειοῦνται».

Ἀμφοῖν ἀθλητῶν ἐκκεκομμένων κάρας,
κεῖται Μεσῖρος, ἐν μέσῳ κάρας δίχα.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγ(ιος) μάρτυς Δονάτος τοξευόμενος τελειοῦται».

Ἄλλος ξένο(ς) τις ἥλιός μοι Δονάτος,
σαρκὸς προΐσχων ἀκτίνων δίκην βέλη.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Βάρβαρο(ς) ξίφει τελειοῦται».

Τὴν κλῆσιν ἡμῖν Βάρβαρος σὺ γεννάδα,
ὁ δ' αὖ τεμών σου βάρβαρος τὴν καρδίαν.

ζ′ (φ. 86α) «Μηνὶ τῷ αὐτῷ ζ′. Μνήμη τοῦ ἁγίου μάρτυρος Ἀκακίου».

Εἴπέρ τις ἄλλος ἐν χορῷ τῶν μαρτύρων,

1. νεωρίῳ cod.

κάλλιστος 'Ακάκιος ἐκτμηθεὶς κάραν.
Φάσγανον ἑβδομάτῃ 'Ακακίου ῥῆξε τένοντα.

'Ακολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

"Αρχ.: Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· Καππαδόκ(ων) τὸ γένος [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτ(ά)τ(ῳ) αὐτοῦ μαρτυρίῳ τῷ ὄντι ἐν τῷ 'Επτασκάλῳ· καὶ τὰ ἐγκαίνια τοῦ αὐτοῦ ναοῦ.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τοῦ χρόνου καθ' ὃν ἐν τῷ οὐ(ρα)νῷ ὁ στ(αυ)ρὸς ἐφάνη· ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως· υἱοῦ τοῦ μεγάλου βασιλέως Κωνσταντίνου· (καὶ) Κυρίλλου ἀρχιεπισκόπου 'Ιεροσολύμων τοῦ κατηχητοῦ».

Στ(αυ)ροῦ παγέντος ἡγιάσθη γῆ πάλαι,
καὶ νῦν φανέντος ἡγιάσθη καὶ πόλος.

'Ακολουθεῖ (φ. 86α-β) σύντομος διήγησις.

"Αρχ.: 'Εν τῇ ἁγίᾳ πόλει 'Ιερουσαλήμ, ἐν ταῖς ἡμέραις τῆς ἁγίας Πεντηκοστῆς, ἑβδόμῃ μαΐου [. . .]
(φ. 86β) Τελ.: [. . .] εὐχαριστίαν μετὰ κατανύ||ξεως τῷ Θ(ε)ῷ ἀνέπεμψαν, ἐπὶ τῷ παραδόξῳ τούτῳ θαύματι.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρες· Γαϊανὸς καὶ Νεόφυτος καὶ Γάϊος ξίφει τελειοῦνται».

'Εγὼ λέλειμμαι, τέμνε δὴ κἀμὲ ξίφος,
ὡς τοὺς συνάθλ(ους), Γάϊος μάρτυς λέγει.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχ(α) Κυριακὴ τῶν ἁγίων τριακοσίων δεκαοκτὼ θεοφόρων π(ατέ)ρων τῶν ἐν Νικαίᾳ».

Τείχη γεραίρω δογμάτων σωτηρί(ων),
σώσαντα πιστοῖς, ὡς πόλιν τὴν τριάδα.

η' «Μηνὶ τῷ αὐτῷ η'. Μνήμη τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ 'Ιω(άννου) παρθένου τοῦ Θεολόγου· ὅτε ὁ ῥοδισμὸς [. . .] τοῦ μάννα γίνεται».

Οὐ βρῶσιν ἀλλὰ ῥῶσιν ἀν(θρώπ)οις νέμει,
τὸ τοῦ τάφου σου μάννα μῦστα Κ(υρίο)υ.

'Ακολουθεῖ (φφ. 86β - 87α) συναξάριον τοῦ εὐαγγελιστοῦ.

"Αρχ.: 'Εκ τοῦ ἐγκωμίου Σωφρονίου 'Ιεροσολύμων, εἰς τ(ὸν) Θεολόγ(ον)· ὅτι π(ατ)ὴρ τοῦ Θεολόγου ὁ Ζεβεδαῖος ἦν [. .]
(φ. 87α) Τελ.: [. . .] καὶ Παῦλος ὁ τῆς ἐρήμου πολίτης ἐκεῖσε κατάκεινται· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις, ἐν τῷ σεπτῷ ἀποστολείῳ τῷ ὄντι ἐν τῷ 'Εβδόμῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ σύναξις τῆς ἁγίας κόνεως τῆς ἀναπεμπομένης ἐκ τοῦ τάφου, ἤγουν τοῦ μάννα».

'Ακολουθεῖ (φ. 87α-β) σύντομος διήγησις.

"Αρχ.: 'Ο πανάγαθος καὶ φιλάν(θρωπ)ος Θ(εὸ)ς ἡμῶν· οὐ μόνον τοὺς ὑπὲρ αὐτοῦ προθύμως ἀγωνισαμένους [. . .]
(φ. 87β) Τελ.: [. . .] (καὶ) τὸν αὐτοῦ θεράποντα 'Ιω(άνν)ην γεραίροντες.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀρσενίου τοῦ μεγάλου».

Λαθεῖν βιώσ(ας) Ἀρσένιος ἠγάπα,
ὃς οὐδὲ πάντως ἐκβιώσας λανθάνει.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ἀρσένιος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν ἦν μὲν ἐκ τῆς παλαιᾶς Ῥώμ(ης)· διάκονος[. . .]
Τελ.: [. . .] καὶ ἀγωνισάμενος εἰς ἀρετὴν ὡς οὐδεὶς ἄλλος, ἐν βαθεῖ γήρᾳ πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιο(ς) Μίλης ὁ ὑμνῳδὸς ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ἐκστάντα Μίλην ὑμνοποιὸν ἐκ βίου,
ὑμνεῖν λόγοις δίκαιον ὡς ἐμὸς λόγος.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁλόκληρος σπεῖρα στρατιωτῶν ξίφει τελειοῦται».

Χριστοφοροῦσα σπεῖρα τέμνεται κάρας,
χριστοκτονοῦσαν σπεῖραν οὐ μιμουμένη.

θ' «Μηνὶ τῷ αὐτῷ θ'. Μνήμη τοῦ ἁγ(ίου) προφήτου Ἡσαΐου».

Ὃς ἄσπορον προεῖδεν υἱομητρίαν,
πρισθεὶς ἄναρχον εἶδεν υἱοπατρίαν.

Ἀκολουθεῖ (φφ. 87β - 88α) συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Ὁ ἅγιος προφήτης Ἡσαΐας ὁ μεγαλοφωνότατος, ἦν ἀπὸ Ἰ(ερουσα)λήμ· θνήσκει δὲ πρισθεὶς [. . .]
(φ. 88β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου μάρτυρος Λαυρεντίου· ἔνθα κατετέθη τὸ τίμιον αὐτοῦ λείψανον· ὕστερον μετακομισθὲν ἐν Κωνσταντινουπόλει.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μεγαλομάρτυρος Χριστοφόρου».

Τὸν Χριστοφόρον οἶδά σε χριστοφόρος,
Χ(ριστ)ῷ τυθ(έν)τα τῷ Θ(ε)ῷ διὰ ξίφους.
Χριστοφόρον δ' ἐνάτῃ ταμεσίχρως[1] ἔκτανε χαλκός.

Ἀκολουθεῖ (φφ. 88β - 89β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Καὶ περὶ τούτου λέγεται τοῦ ἐνδόξου μεγαλομάρτυρος τερατώδη τινὰ καὶ παράδοξα [. . .]
(φ. 89β) Τελ.: [. . .] καὶ τελευταῖον ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις [. . .] ἐν τῷ Κυπαρισίῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων γυναικῶν καὶ μαρτύρων· τῶν πιστευσάντων [sic] διὰ τοῦ ἁγίου μεγαλομάρτυρος Χριστοφόρου· αἵτινες σούβλαις ἀπὸ ποδῶν ἕως τῶν ὤμων διαπαρεῖσαι, τελειοῦνται· ὧν τὰ ὀνόματα, Ἀκυλῖνα καὶ Καλλινίκη».

1. ταμέσι χρόος cod.

Ἔχει τράπεζαν σατανᾶς πάλιν νέαν,
γύναια σουβλίζουσιν οἱ πλάνοι δύο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων μαρτύρων Ἐπιμάχου καὶ Γορδιανοῦ».

Ἀνεῖλεν Ἐπίμαχον ἀθλητὴν ξίφος,
θεῖον μαχητὴν εὐσθενῆ κατὰ πλάνης.

Οὐδὲ προσεῖχε Γορδιαν(ὸς) τῷ ξίφει,
ψυχὴν ἑαυτοῦ θαρσοποιῶν τῷ στέφει.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρες Ῥουφῖνος καὶ Σατορνῖν(ος) ξίφει τελειοῦνται».

Δυοῖν συνάθλων πρὸς τομὴν τόλμα ξίφος,
ἰσόρροποί σοι τῷ ζυγοστάτῃ λόγῳ.

ι' «Μηνὶ τῷ αὐτῷ ι'. Μνήμη τοῦ ἁγίου ἀποστόλου Σίμωνος τοῦ Ζηλωτοῦ».
Μετὰ τὸ φ. 89β ὑπάρχει χάσμα εἰς τὸ κείμενον, διότι ἔχει ἐκπέσει ἓν πλῆρες ὀκτάφυλλον τετράδιον.

ια' (φ. 90α) [Μαΐου ις']

Ἀκέφαλον συναξάριον τοῦ ἁγίου Ἀβδιησοῦ.

Ἀρχ.: ἀλλὰ τὸν Χ(ριστὸ)ν σεβόμενος, ἤχθη πρὸς αὐτὸν μετὰ καὶ ἑτέρων τριακονταοκτὼ [...]
Τελ.: [...] καὶ μεθ' ἡμέρας ἀχθεὶς ὁ ἅγιος Ἀβδιησοῦς, (καὶ) αὐτὸς τὴν κεφαλὴν ἀποτέμνεται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Βαχθισόη· Ἰσαακίου, καὶ Συμεῶνος».

Πρὸς πῦρ ἓν πνέουσι τρεῖς ὁμοφρόνως,
Ἰσαάκιος, Συμεών, Βαχθισόης.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Παπυλῖνος ξίφει τελειοῦται».

Ὁ Παπυλῖνος θραῦσιν εὑρὼν ἐκ ξίφους,
πύλας πλάνης ἔθραυσε καὶ θεοὺς ἅμα.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ἀββάδες, οἱ ἐν τῇ μάνδρᾳ τοῦ ἁγίου Σάβα, ξίφ(ει) τελειοῦντ(αι)».

Σοὺς σ(ῶτ)ερ ἄρνας ὡς ὀδοῦσι ταῖς σπάθαις,
μάνδρας ἔσω κτείνουσιν εἰσδύντες λύκοι.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) (φ. 90β) ‖ ὁ ἐν Βλαχέρναις ἅγιος Πέτρος, βουνεύροις τυπτόμενο(ς), τελειοῦται».

Ἄσειστος ὄντως πίστεως Πέτρος πέτρα,
πρὸς ὃν τὰ νεῦρα πάπυρος τὸ τοῦ λόγου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Νικόλαος, π(ατ)ριάρχης Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται».

Ὁ Νικόλαος ἐκλιπὼν σκιὰν βίου,
πρὸς εὔσκιον μετῆλθε φωτὸς χωρίον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτυρες Παμφαμὴρ καὶ Παμφαλὼν τυπτόμενοι τελειοῦνται».

Θαρσεῖτε κἂν τύπτεσθε μάρτυρ(ες) δύο,
θήσει Θ(εὸ)ς μάλαγμα ταῖς πληγαῖς στέφη.

ιβ′ «Μηνὶ τῷ αὐτῷ ιζ′. Μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα· Ἀνδρονίκου καὶ Ἰουνία».

Ἔθνη διδάξας Ἀνδρόνικος μυρία,
πρὸς Χ(ριστὸ)ν ἦλθεν ὃς καλεῖ πρὸς φῶς ἔθνη.

Ἰουνίας τέθνηκε μηνὶ μαΐῳ,
ὃς πρῶτός ἐστιν εἰσιὼν ἰουνίου.

Ἑβδομάτη δεκάτη θέσαν Ἀνδρόνικον κατὰ τύμβον.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Οὗτος ὁ τοῦ Χ(ριστο)ῦ μαθητὴς καὶ ἀπόστολος πᾶσαν τὴν οἰκουμένην ὑπόπτερός τις διαδραμὼν [. . .]
Τελ.: [. . .] ἀσπάσασθαι λέγων Ἀνδρόνικον καὶ Ἰουνίαν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Σολόχωνος καὶ τ(ῶν) σὺν αὐτῷ».

Φυγὼν Σολόχων τοῦ σατανᾶ τοὺς λόγους,
ἄτρωτο(ς) ἥκει πρὸς τὸν ὕψιστον λόγον.

Ἀκολουθεῖ (φφ. 90β - 91β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως, Αἰγύπτιος τὸ γένος, στρατιώτης τὴν τάξιν [. . .]
(φ. 91β) Τελ.: [. . .] καὶ ἀναβλέψας εἰς τὸν οὐ(ρα)νόν, τῷ Θ(ε)ῷ τὸ πν(εῦμ)α παρέθετο.

ιγ′ «Μηνὶ τῷ αὐτῷ ιη′. Μνήμη τῆς ἁγίας Εὐφρασίας τῆς μάρτυρος, τῆς ἐν τῷ βυθῷ τελειωθείσης».

Εὐφρασίαν πεσοῦσαν εἰς βυθοῦ πτύχας,
εὔφραινε, σ(ῶτ)ερ, σῷ παραστᾶσαν θρόνῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῶν ἁγί(ων) μαρτύρων· Πέτρου· Παύλου· Ἀνδρέου· Διονυσίου (καὶ) Χριστίνης τῆς παρθένου».

Ὡς εὐσταλής τις ἐκ ξίφους ἡ Χριστῖνα,
ἀθλητικῷ σταλεῖσα φιβλατωρίῳ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ ἅγιος μάρτυς Πέτρος ἦν ἐκ Λαμψάκου τῆς πόλεως· ἀχθεὶς δὲ Δεκίῳ τῷ ἄρχοντι [. . .]
Τελ.: [. . .] ἡ δὲ ἁγία Χριστῖνα ἐπιπεσοῦσα αὐτοῖς, τὴν κεφαλὴν ἀποτέμνεται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων ἑπτὰ παρθένων τῶν ἐν Ἀγκύρᾳ καὶ Θεοδότου μ(άρτυ)ρ(ος)».

(φ. 92α) Λίμνη γυναικῶν ἑπτὰς ἐμβεβλημένη,
χαίρει βίου ῥέοντος ἐκβεβλημένη.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Αὗται αἱ ἅγιαι παρθένοι καὶ μάρτυρες ἑπτά, ὧν τὰ ὀνόματα· Τεκοῦσα· Κλαυδία· Φαεινή· Εὐφρασία· Ματρῶνα· (καὶ) Ἰουλία, ὑπῆρχον ἐξ Ἀγκύρας τῆς Γαλατίας [. . .]
Τελ.: [. . .] τὰ δὲ λείψανα τῶν παρθέν(ων) ὁ παράνομος ἄρχων ἐξενεγκών, πυρὶ παραδίδωσιν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Στεφάνου τοῦ νέου, π(ατ)ριάρχου Κωνσταντινουπόλεως».

Ἐκ τοῦ διαρρέοντος ἐξέβη βίου
Στέφανος, οὗ στέφανο(ς) οὐ διαρρέει.

Ἀκολουθεῖ (φ. 92α-β) σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος, υἱὸς μὲν γέγονε τοῦ ἀοιδίμου Βασιλείου βασιλέ(ως) Ῥωμαίων· διὰ δὲ τὸ ἁπλοῦν τοῦ ἤθους [. . .]
(φ. 92β) Τελ.: [. . .] ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἐπαφροδίτου».

Ἐκ δεξιῶν σε τοῦ π(ατ)ρ(ὸ)ς βλέπει λόγε,
Ἐπαφρόδιτο(ς) δεξιῶν ἔργων φίλος.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Ἰουλιανός, ἐν ἀκάνθαις βάτου συρόμενος, τελειοῦται».

Ἰουλιανὸς ἆθλον εὗρε τὴν βάτον,
τιμῶν Θ(εο)ῦ σάρκωσιν ἧς τύπος βάτος.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Θεόδωρος, πάπας Ῥώμης, ξεόμ(εν)ο(ς) τελειοῦται».

Ἀνθρωποτρώκτας δημίους λέγω λύκους,
Θεοδώρου τρώγουσι τὰς σάρκας ξέσει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία Ἀναστασὼ ἡ ἐν τοῖς Λευκαδίοις, ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ἀναστασὼ ζῇ, κἂν μύῃ κοινῷ βίῳ,
ἀνάστασιν μένουσα κοινὴν τοῦ γένους.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Μαρτινιανοῦ ἐν τοῖς Ἀρεωβίνδου· καὶ μνήμη τῶν ἁγίων μαρτύρων κληρικῶν καὶ λαϊκῶν, οὓς Οὐάλ(ης) ἐν πλοίῳ ἐμβαλὼν τῷ πυρὶ κατέκαυσε πλησί(ον) Δακυβίζης».

ιδʹ «Μη(νὶ) τῷ αὐτ(ῷ) ιθʹ. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Π(ατ)ρικίου καὶ τῶν σὺν αὐτῷ· Ἀκακίου· Μενάνδρου (καὶ) Πολυαίνου».

Ἔφευρε Π(ατ)ρίκιος ἐκτμηθεὶς κλέος,
ὑπὲρ κλέος πᾶν γηΐν(ων) π(ατ)ρικίων.

Καλοῦ μετέσχες Ἀκάκιε τοῦ τέλους,
ἀθλητικ(ὸν) γὰρ τοῦτό σοι διὰ ξίφους.

Πολύαινος, Μένανδρος ἐκτετμημένοι,
πολλῶν ἐπαίνων ἀξιούσθωσαν λίαν.

Ἐννεακαιδεκάτῃ τάμε Π(ατ)ρίκιον ξίφος ὀξύ.

Ἀκολουθεῖ (φ. 93α) συναξάριον τῶν μαρτύρων.

(φ. 93α) Ἀρχ.: Ὁ ἅγιος Π(ατ)ρίκιος ἐπίσκοπος Προύσης ἦν· διὰ δὲ τὴν εἰς Χ(ριστὸ)ν πίστιν ἐγκλεισθεὶς [. . .]
Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτῶν σύναξις ἐν τῷ οἴκῳ τῆς ὑπεραγίας Θ(εοτό)κου ἐν τοῖς Κύρου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μάρτυρος Ἀκολούθου».

Ὁ μάρτυς Ἀκόλουθο(ς) ὡς πρὸς παστάδα,
ἐπηκολούθει τοῖς ἄγουσι πρὸ(ς) φλόγα.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· ἐκ Θηβαΐδος τ(ῆς) Αἰγύπτου ἐν Ἑρμουπόλει [. . .]
Τελ.: [. . .] καὶ ἐν αὐτῷ βληθείς, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) (φ. 93β) ‖ μνήμη τῆς ἁγί(ας) μάρτ(υ)ρο(ς) Κυριακῆς τῆς ἐν πυρὶ τελειωθείσης».

Αἰώνιον φεύγουσα πῦρ ἐχεφρόνως,
Κυριακὴ πρόσκαιρον ἡδέ(ως) φέρει.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία μάρτυς Θεοτίμα ξίφει τελειοῦται».

Τιμὴ Θ(εὸ)ς πέφυκε τῇ Θεοτίμᾳ,
ἣν ἀξίαν τίθησι μάρτυρα ξίφος.

ιε' «Μη(νὶ) τῷ αὐτῷ εἰκοστῇ. Μνήμη τοῦ ἁγίου μάρτυρος Θαλελαίου».

Ἀκέστορι τμηθέντι τῷ Θαλελαίῳ,
Θ(εὸ)ς βοτάνη πρὸς λύσιν παντὸς πάθους.
Εἰκοστῇ Θαλέλαιος τὴν κεφαλὴν ἀπετμήθη.

Ἀκολουθεῖ (φφ. 93β - 94α) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Νουμεριανοῦ βασιλέως· ὁρμώμενος ἐκ τοῦ Λιβάνου [. . .]
(φ. 94α) Τελ.: [. . .] τελεῖτ(αι) δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρίῳ αὐτοῦ, τῷ ὄντι ἔνδον τοῦ ἁγίου μάρτυρος Ἀγαθονίκου.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Ἀσκλᾶ».

Αἰγύπτιος τὴν γλῶτταν Ἀσκλᾶς προφέρει,
δι' ἔνθεον κήρυγμα γλωσσῶν ἐμπύρων.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ Θηβαΐδος τῆς Αἰγύπτου· καὶ διὰ τὴν εἰς Χ(ριστὸ)ν πίστ(ιν) διαβληθεὶς [. . .]
Τελ.: [. . .] ἐμβάλλει ἐν τῷ ποταμῷ· ἐν ᾧ καὶ τὸν στέφαν(ον) τῆς εἰς Χ(ριστὸ)ν ὁμολογίας ἐδέξατο.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ διὰ τοῦ ἁγίου Θαλελαίου πιστεύσαντες στρατιῶτ(αι) Ἀστέριος καὶ Ἀλέξανδρος ξίφει τελειοῦνται».

Ὑπῆρξε τμηθεὶς Ἀστέριος τὴν κάραν,
ἀστὴρ ὁδηγῶν Ἀλέξανδρον πρὸς ξίφος.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Θαλάσσιος ἐν εἰρήνῃ τελειοῦται».

Θαλάσσιος καὶ κατοικήσας τάφον,
βλύζει θαλάσσας χαρίτων ἐκ τοῦ τάφου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Μάρκος ἐν εἰρήν(ῃ) τε(λειοῦται)».

Δίδωσι Μάρκῳ τῆς Ἐδὲμ κῆπον μέγαν,
ὁ κῆπον εὑρὼν εἰς ταφὴν Χ(ριστὸ)ς πάλαι.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχα Κυρ(ιακ)ὴ τῶν Ἁγίων Πάντων».

Τοῦ Κ(υρίο)υ μου πάντας ὑμνῶ τοὺς φίλ(ους),
εἴ τις δὲ μέλλων, εἰς τὸ πάντας εἰσιέτω.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μάρτυρος Νικοστράτου· (καὶ) τοῦ ἁγ(ίου) μάρτυρο(ς) Ἀντιόχου συναθλητοῦ τοῦ ἁγίου μάρτυρος Προκοπίου· καὶ τὰ ἐγκαίνια τοῦ εὐκτηρίου τῶν Ἁγίων Πάντων ἐν τῷ (φ. 94β) ‖ ξενῶνι τοῦ Εὐβούλου».

ις' «Μη(νὶ) τῷ αὐτῷ κα'. Μνήμη τ(ῶν) ἁγίων ἐνδόξων μεγάλων θεοστέπτων βασιλέ(ων) καὶ ἰσαποστόλων, Κωνσταντίνου καὶ Ἑλένης».

Ὡς κοινὸν εἶχον γῆς βασιλεῖς τὸ στέφος,
ἔχουσι κοιν(ὸν) καὶ τὸ τοῦ πόλου στέφο(ς).
Σύνθανε μητέρι εἰκάδι πρώτῃ Κωνσταντῖνος.

Ἀκολουθεῖ (φφ. 94β - 95β) συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Ὁ μέγας οὗτος καὶ μακάριος ἀοίδιμος ἐν βασιλεῦσι Κωνσταντῖνος, υἱὸς γέγονε Κώνσταντος τοῦ Χλωροῦ, καὶ Ἑλένης τῆς τιμίας [. . .]
(φ. 95β) Τελ.: [. . .] μετὰ λιτῆς ἐκεῖσε παραγενομένου καὶ τὴν θείαν μυσταγωγίαν ἐπιτελοῦντος.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Θεοδώρητος, πρεσβύτ(ε)ρο(ς), ἐν εἰρήνῃ τε(λειοῦται)».

Χωρεῖν ἔχει που τῆς Ἐδὲμ τὸ χωρίον,
καὶ τὸν Θεοδώρητον ἔνδον τὸν μέγαν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Μαξιμιανός, π(ατ)ριάρχης Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται».

Μαξιμιανὸς οὐχ ὁ παμφάγος λύκος,
ἀλλ' ὁ τροφεὺς τέθνηκε τῆς ἐκκλησίας.

ιζ' «Μη(νὶ) τῷ αὐτῷ εἰκοστῇ δευτέρᾳ. Μνήμη τοῦ ἁγ(ίου) μάρτ(υ)ρ(ος) Βασιλίσκου· ἀνεψιοῦ τοῦ ἁγίου Θεοδώρου τοῦ Τήρωνος».

Ὁ Βασιλίσκος ἐκτομῇ δοὺς τὴν κάραν,
πατεῖ νοητοῦ βασιλίσκου τὴν κάραν.
Εἰκάδι δευτερίῃ Βασιλίσκον φάσγανον ἔκτανε.

Ἀκολουθεῖ (φφ. 95β - 96β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Κατὰ τοὺς καιροὺς Μαξιμιανοῦ τοῦ βασιλέως, ἀπεστάλη ἐν τῇ Ἀνατολῇ κατὰ τῶν χριστιανῶν [. . .]
(φ. 96β) Τελ.: [. . .] ἐν ᾧ καὶ ἰάσεις πολλαὶ καὶ θαύματα γίνονται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας καὶ οἰκουμενικῆς δευτ(έ)ρ(ας) συνόδου τῆς καθελούσης Μακεδόνιον τὸν πν(ευματ)ομάχον· μὴ εἶναι Θ(εὸ)ν τὸ πν(εῦμ)α λέγοντα».

Τολμᾷ τὸ θεῖον πν(εῦμ)α μὴ Θ(εὸ)ν λέγειν,
τὸ παμπόνηρον πν(εῦμ)α Μακεδονίου.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Μάρκελλος, μόλυβδον ποτισθεὶς κοχλάζοντα, τελειοῦται».

Μολύβδινον Μάρκελλος ἔμπυρον πόμα,
οὕτω πίνων ἦν, ὡς ὕδωρ εἴ τις πίνει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Κόδρος ὑπὸ ἵππων συρόμενος τελειοῦται».

Ἱππηλατήσας καὶ πόλου νύσσαν φθάσας,
τὰς χεῖρας αἴρεις, καὶ στέφος δέχῃ Κόδρε[1].

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Σοφία ἡ ἰάτραινα ξίφει τε(λειοῦται)».

Ἰατρὸς ἦν πρὶν σωμάτων ἡ Σοφία,
τμηθεῖσα γοῦν νῦν, δείκνυται καὶ πν(ευμάτ)ων.

ιη' «Μηνὶ τῷ αὐτῷ κγ'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ ὁμολογητοῦ Μιχαὴλ ἐπισκόπου Συνάδων».

Τῷ κυματώδει μικρὸν ἐμπρέψας βίῳ,
λύῃ Μιχαήλ, οἷα κούφη πομφόλυξ.
Εἰκάδι ἐν τριτάτῃ Μιχαὴλ ἀνέδραμεν ἐκ γῆς.

Ἀκολουθεῖ (φφ. 96β - 97α) σύντομον συναξάριον τοῦ ὁσίου.

1. Κόδρα cod.

Ἀρχ.: Οὗτος ὁ ἀγγελώνυμος Μιχαήλ, διὰ βίου τέλειον ἐκκαθάρας ἐκ μ(ητ)ρικῶν ἀγκαλῶν [. . .]
(φ. 97α) Τελ.: [. . .] προσετέθη[1] τοῖς ἀρχιερεῦσιν ὁ ἀρχιερεύς· (καὶ) τοῖς μάρτυσιν ὁ μάρτυς.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν καὶ ὁμολογητοῦ Ἰωάννου τοῦ Ψυχαΐτου».

Δέξαι σύνοικον Λάζαρε Ψυχαΐτην,
ὃς τὸ πρὶν ἦρας[2] (καὶ) τραπέζης ψιχίων.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος ἐκ νηπίου, Ἰω(άνν)ου καὶ Ἠλιοὺ τοῖς τρόποις μιμούμενος [. . .]
Τελ.: [. . .] νοσούντων καὶ σώματα καὶ ψυχὰς θεραπεύων· ὡς τῶν θαυμάτων τὴν χάριν ἐκ Θ(εο)ῦ δεξάμενος.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία μυροφόρος Μαρία ἡ τοῦ Κλωπᾶ ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ψυχὴν φέρει νῦν οὐκ ἄρωμα Μαρία,
ἀρωμάτων σοι σ(ῶτ)ερ εὐωδεστέραν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Σαλωνᾶς ὁ Ῥωμαῖος ξίφει τελειοῦται».

Σπονδὰς ἀπειθῶς προ(σ)φέρειν εἰδωλίοις,
τέμνῃ Σαλωνᾶ καὶ Θ(εο)ῦ σπονδὴ γίνῃ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Σέλευκος πυρὶ τελειοῦτ(αι)».

Φέρει Σέλευκος ἀστενακτὶ τὴν πρίσιν,
καὶ τὸν πολυστένακτον ἐκλείπει βίον.

ιθ´ «Μη(νὶ) τῷ αὐτῷ κδ´. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν· Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει».

(φ. 97β) Θαυμαστὸν ᾤκει πρὶν Συμεὼν γῆς ὄρος,
πόλου δὲ πανθαύμαστον οἰκεῖ νῦν ὄρος.
Εἰκάδι[3] ἔνθα νόες Συμε(ὼν) μόλ(εν) ἀμφὶ τετάρτῃ.

Ἀκολουθεῖ (φφ. 97β - 98α) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος καὶ θαυματουργὸς Συμεών, ἦν κατὰ τοὺς χρόν(ους) Ἰουστινιανοῦ τοῦ πάλαι [. . .]
(φ. 98α) Τελ.: [. . .] καὶ ἀναπαυσάμενος, πρὸς τὴν τῶν ἀγγέλων μετετάξατο δόξαν τε καὶ κατάστασιν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῶν ἁγίων μαρτύρων· Μελετίου τοῦ στρατηλάτου (καὶ) τῶν σὺν αὐτῷ· Ἰωάννου· Στεφάνου· Σεραπίωνος τοῦ Αἰγυπτίου· Καλλινίκου τοῦ μάγου· κομήτων καὶ τριβούνων δώδεκα· γυναικῶν τριῶν· Μαριανῆς·

1. προσετίθη cod. 2. ἧρας cod.
3. εἰκάδα cod.

Παλλαδίας (καὶ) Σωσάννης· καὶ νηπίων δύο· Κυριακοῦ (καὶ) Χριστιανοῦ· καὶ τοῦ λοιποῦ πλήθους τῶν σὺν αὐτοῖς μαρτυρησάντων, χιλιάδων ἕνδεκα (καὶ) διακοσί(ων) ὀκτώ».

Πεύκην πικρὰν λέγουσιν ἀλλ' ἦν ἡρμένῳ,
ὑμήττιόν τι τῷ Μελετίῳ μέλι.

Τμηθεὶς ἀμείβεις εἰς ἀθλητὴν τ(ὸν) μάγον,
τὴν Καλλινίκου κλῆσιν οὐ κληθεὶς μάτην.

Σὺν Ἰω(άνν)ῃ Στέφανος τὴν κάραν ξίφει,
πόθῳ στεφάνων τῶν ἀκηράτων, κλίνει.

Γλυπτοῖς ὁ μάρτυς μὴ θύων Σεραπίω(ν),
ἐκ γλυπτολάτρου τέμνεται τὸν αὐχένα.

Φθαρταὶ τριβοῦνοι καὶ κόμητες ἀξίαι,
ἄφθαρτον εὗρον ἐκ πυρὸς τὴν ἀξίαν.

Κυριακὸν δὲ καὶ Χριστιανὸν ξίφος,
δούλους ἀνεῖλε κυριακοὺς Κ(υρίο)υ.

Μαριανή, Σωσάννα καὶ Παλλαδία,
ξυλοκτονοῦνται μὴ θύουσαι παλλάδι.

Διπενταπλῆν κτείνουσιν εἰκάδα σπάθαι,
ἢ συγκατακτείνουσιν ἁπλῆν ὀκτάδα.

Ἀκολουθεῖ (φφ. 98β - 99α) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι μάρτυρες ὑπῆρχον κατὰ τοὺς χρόνους Ἀντωνίνου τοῦ βασιλέως καὶ Μαξιμίνου ἡγεμόνος [. . .]
(φ. 99α) Τελ. [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις, ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Πλάτωνος· τῷ ὄντι ἐν τοῖς Δομνίνου ἐμβόλοις.

κ' «Μη(νὶ) τῷ αὐτῷ κε'. Ἡ τρίτη εὕρεσις τῆς τιμί(ας) κε(φαλῆς) τοῦ Προδρόμου».

Φωνὴ βοῶντος γῆς μυχῷ κεκρυμμένη,
τῆς γῆς ῥαγείσης πᾶσιν ἤχησε ξένως.
Εἰκάδι δὲ Προδρόμοιο κάρην εὗρον κατὰ πέμπτην

Ἀκολουθεῖ σύντομος διήγησις.

Ἀρχ.: Ἥτις πρὸ πολλοῦ ἀποκρυβεῖσα, νῦν ἀνεδόθη ἐκ τῶν τῆς γῆς κόλπων [. . .]
Τελ.: [. . .] καὶ πιστῶς προσκυνήσασα, ἐν ἱερῷ τόπῳ ἀποτίθεται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Μάρθας τῆς μ(ητ)ρ(ὸ)ς τοῦ ὁσίου Συμεὼν τοῦ ἐν τῷ θαυματουργῷ ὄρει».

Ἀκολουθεῖ (φ. 99α-β) συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ἡ ἀοίδιμος Μάρθα μ(ήτ)ηρ ἦν τοῦ ἁγίου Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει· καὶ ἀεὶ τῷ Θ(ε)ῷ σχολάζουσα [. . .]
(φ. 99β) Τελ.: [. . .] ἐθαυματούργει ὁ τάφος αὐτ(ῆς) εἰς δόξαν Θ(εο)ῦ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Εὐτροπίας».

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ὑπῆρχεν ἐπὶ Ἀπελλιανοῦ τοῦ ἄρχοντος· (καὶ) κατασχεθεῖσα ὑπ' αὐτοῦ [. . .]
Τελ.: [. . .] καὶ οὕτω τελέσασα τὸ μαρτύριον, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Παγχάριος ξίφει τελειοῦτ(αι)».

Ὁ Παγχάριος πᾶσαν ἣν πλουτ(ῶν) χάριν,
ὃν πρὸς τομὴν ἤλειψ(εν) ἡ Θ(εο)ῦ χάρις.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Κελεστῖνος, σιδήρῳ τὰς πτέρνας περιπαρείς, τελειοῦται».

Πτέρνας σιδήροις ἐμπαρεὶς Κελεστῖνος,
τὸν πτερνοτείρην συντρίβει πατῶν ὄφιν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ὀλβιανὸς ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Τὸν Ὀλβιανὸν οὗ πανόλβιος βίος,
πανολβίαν λαχόντα[1] καὶ λῆξιν γράφω.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος ἀπόστολος Ἀλφαῖος ἐν εἰρήνῃ τελειοῦται».

Θ(εο)ῦ λόγου τὸ θεῖον Ἀλφαίου στόμα,
τάφος καλύπτει πικρὸν ἐγχανὼν στόμα.

κα' «Μη(νὶ) τῷ αὐτῷ εἰκ(οστῇ) ς'. Μνήμη τοῦ ἁγίου ἀποστόλου Κάρπου· ἑνὸς τῶν ἑβδομήκοντα».

Καρποὺς ἐνεγκὼν Κάρπε δεκτοὺς Κ(υρί)ῳ,
φέρ(εις) καθ' ὥραν τὴν τελευτὴν ὡς τρύγην.
Εἰκάδι ἕκτῃ Κάρπος ἀπὸ χθονὸς ἔπτατο μακράν.

Ἀκολουθεῖ (φφ. 99β - 100α) σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὁ τοῦ Κ(υρίο)υ ἀπόστολος Κάρπος, τοῖς ἑβδομήκοντα [. . .] συναριθμηθεὶς [. . .]
(φ. 100α) Τελ.: [. . .] πάθη παντοῖα καθαίρων καὶ ἀκάθαρτα πνεύματα ἀποδιώκων.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγ(ίου) ὁσιομάρτυρος Τιμοθέου, τοῦ ἐν τῇ Προύσῃ».

Ἀκολουθεῖ (φ. 100α-β) σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Ἰουλιανοῦ τοῦ Παραβάτου, κυπάρισσος ἵστατο τερπνὴ καὶ ὡραία [. . .]
(φ. 100β) Τελ.: [. . .] τὸν Χ(ριστὸ)ν Θ(εὸ)ν ἀληθινὸν ὁμολογῶν, ἀπετμήθη τὴν κεφαλήν.

1. λαγχόντα cod.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ἀβέρκιος ὁ τοῦ ἀποστόλου Ἀλφαίου υἱός, ἐν μελισσῶνι γυμνὸς ἁπλωθείς· (καὶ) ὑπὸ μελισσῶν δακνόμ(εν)ο(ς), τελειοῦται».

Βρῶσις μελίσσαις Ἀβέρκιος προὐτέθη,
ὧν βρῶσις ὤφθη Κ(υρί)ῳ τὸ κηρίον.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Ἑλένη, ἡ ἀδελφὴ αὐτοῦ λιθοβοληθεῖσα, τελειοῦται».

Σὸς χριστονύμφη κόσμος Ἑλένη λίθοι,
δι' ὧνπερ ὤφθης εὐπρεπὴς τῷ νυμφίῳ.

κβ' «Μη(νὶ) τῷ αὐτῷ κζ'. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Θεράποντος».

Μάστιξι θνήσκων δεσπότου τοῦ σοῦ χάριν,
εὔνους θεράπων χρηματίζεις Θεράπον.
Εἰκάδι ἑβδομάτῃ τῦψαν σθεναρὸν Θεράποντα.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ. Οὗτος ἦν ἱερεὺς κατὰ τὴν Σάρδεων μ(ητ)ρόπολιν· (καὶ) διὰ τὴν ἀρίστην αὐτοῦ πολιτείαν κρατηθεὶς [. . .]
Τελ.: [. . .] ἔσχατον τὸν τοῦ μαρτυρίου στέφανον ἐνεδύσατο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη ἑτέρου ἁγίου ἱερομάρτυρος Θεράποντος».

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις πόθεν ὥρμητο· καὶ ἐκ τίνων ἔφυ· ἢ καθ' οὓς ἐγένετο χρόνους [. . .]
(φ. 101α) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρίῳ τῷ ὄντι πλησίον τῆς Ἐλαίας.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων μαρτύρων Νικάνδρου (καὶ) Μαρκιανοῦ».

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Μαξίμου ἡγεμονεύοντος, προσήχθησαν αὐτῷ δύο στρατιῶτ(αι) ὡς χριστιανοὶ [. . .]
Τελ.: [. . .] ἀπετμήθη τὴν κεφαλὴν σὺν τῷ μακαρίῳ Νικάνδρῳ· καὶ ἀπῆλθον πρὸς Κ(ύριο)ν χαίροντες.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ἀλύπιος, λίθῳ τ(ὴν) κεφαλὴν συντριβείς, τελειοῦται».

Τὸν εἰς κεφαλὴν γωνίας τιμῶν λίθον,
λίθῳ κεφαλὴν Ἀλύπιε συντρίβῃ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτυρες Δίδυμος καὶ Θεοδώρα, ξίφεσι κοπέντες καὶ εἰς πῦρ βληθέντες, τελειοῦνται».

Σὺν τῇ συνάθλῳ Δίδυμε τμηθεὶς φλέγῃ,
φέρων σὺν αὐτῇ δίδυμον τιμωρίαν.

(φ. 101β) «Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Εὐσεβιώτης πυρὶ τελειοῦται».

Εὐσεβιώτῃ προσδοκῶντι τὰ στέφη,
τὸ πυρπολοῦν πῦρ ὡς Ἀερμὼν ἦν δρόσος.

κγ′ «Μη(νὶ) τῷ αὐτῷ κη′. Μνήμη τοῦ ἁγίου μάρτυρος Ἑλλαδίου».

Καὶ μαστίγων μοι ψαλμικῶς συνηγμένων,
ὁ μάρτυς Ἑλλάδιος εἶπεν οὐκ ἔγνων.
Εἰκάδι ὀγδοάτῃ θάνε θεινόμενος Ἑλλάδιος.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ἐκκαθάρας ἑαυτὸν ἀπὸ πάσης κηλῖδος [. . .]
Τελ.: [. . .] ἔπειτα σφοδρότατα αἰκισθείς, τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρατίθεται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Ἑλικωνίδος».

Ἑλικωνὶς τμηθεῖσα τὴν κάραν ξίφει,
πλάνης ἕλικας καὶ πλοκὰς πάσας λύει.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος, κολοβὸν (διότι μετὰ τὸ φ. 101 ἔχει ἐκπέσει ἓν φύλλον).

Ἀρχ.: Αὕτη ἦν ἐπὶ Γορδιανοῦ καὶ Φιλίππου τ(ῶν) βασιλέων· ἐκ πόλεως Θεσσαλονίκης [. . .]
Τελ.: [. . .] εἶτα λυθέντος μολύβδου καὶ ἀσφάλτου καὶ πίσσης· καὶ ἐν αὐτοῖς

κδ′ [Μηνὶ τῷ αὐτῷ κθ′. Μνήμη τῆς ἁγίας μάρτυρος Θεοδοσίας.]
(φ. 102α) Συναξάριον τῆς μάρτυρος ἀκέφαλον.

Ἀρχ.: δὲ διάρασα τὸ στόμα· καὶ τοῖς ὀφθαλμοῖς ἀτενὲς ἐμβλέψασα [. . .]
Τελ.: [. . .] εἶθ' οὕτω τοῖς θαλαττίοις ταύτην ἀκοντίζει βυθοῖς· ἐν οἷς τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρέθετο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀλεξάνδρου πάπα Ἀλεξανδρείας».

Σεπτὴν τελευτὴν τὴν Ἀλεξάνδρου σέβω,
ὃν οἶδα σεπτὸν τῆς Ἀλεξάνδρου πάπαν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας ὁσιομάρτυρος Θεοδοσίας τῆς Κωνσταντινουπολιτίσσης».

Κέρας κριοῦ κτεῖν(άν) σε Θεοδοσίαν,
ὤφθη νεόν σοι τῆς Ἀμαλθείας κέρας.

Ἀκολουθεῖ (φ. 102α-β) συναξάριον τῆς ὁσιομάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐν τοῖς χρόνοις Θεοδοσίου· γονέων εὐσεβῶν θυγάτηρ ἐκ τῆς Κωνσταντινουπόλεως [. . .]
(φ. 102β) Τελ.: [. . .] περὶ δὲ τῶν ἀπείρων θαυμάτων [. . .] ἔξεστι παντὶ τῷ βουλομένῳ μανθάνειν· τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῇ μονῇ τῶν Δεξιοκράτους· ἔνθα κατάκειτ(αι) τὸ ἅγιον αὐτῆς λείψανον.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ὑπατίου τοῦ ἐν Ῥουφινιαναῖς».

Κεῖται θαλάσσης Ὑπάτιος πλησίον,
ὃς ὑπατεύει σὺν Θ(εο)ῦ φίλοις ἄνω.

Ἀκολουθεῖ (φφ. 102β - 103α) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἅγιος γεννηθεὶς ἐν Φρυγίᾳ καὶ παιδευθείς, ἐτύφθη ὑπὸ τοῦ π(ατ)ρ(ὸ)ς [. . .] (φ. 103α) Τελ.: [. . .] καὶ ὀγδοήκοντα μαθητὰς προαποστείλας πρὸς Κ(ύριο)ν, ἀπῆλθε καὶ αὐτὸς δοξάζων τὸν Θ(εόν).

(φ. 103β) «Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι δύο μάρτυρες ἀνὴρ μετὰ τῆς ἰδίας συ||ζύγου, ξύλοις τὰ ὀστᾶ συντριβέντες, τελειοῦντ(αι)».

Τοῖς ἀνδρὸς ὀστοῖς συγκατεθλάσθης, γύναι,
ἐγὼ σὸν ὀστοῦν, πρὸς τὸν ἄνδρα φαμένη.

κε′ «Μηνὶ τῷ αὐτῷ λ′. Μνήμη τοῦ ἁγίου Εὐτυχοῦς· μαθητοῦ τοῦ ἁγίου Ἰω(άννου) τοῦ Θεολόγου».

Κἂν οὐκ ἐπ' ἄθλοις Εὐτυχὴς ἀποπνέῃ,
ἤθλησε καὶ βραβεῖον ἀθλητοῦ λάβοι.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος χάριτος Θ(εο)ῦ πλησθεὶς καὶ τὸν ἅγιον Ἰω(άνν)ην τὸν Θεολόγον εὑρὼν [. . .] Τελ.: [. . .] πλήρης ἡμερῶν γενόμενος, ἀνεπαύσατο ἐν Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμῶν Ἰσαακίου τοῦ ὁμολογητοῦ».

Ψήφῳ Θ(εο)ῦ πρὸς θεῖον ἤρθη χωρίον,
γῆς Ἰσαάκιος ἐκλιπὼν τὸ χωρίον.
Γῆν λίπεν Ἰσαακίου τριακοστῇ κυδάλιμον κῆρ.

Ἀκολουθεῖ (φφ. 103β - 104β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Οὐάλεντος τοῦ βασιλέως· κρατοῦσα ἡ τ(ῶν) ἀρειανῶν αἵρεσις [. . .]
(φ. 104β) Τελ.: [. . .] καὶ ἕνα ἐξ αὐτῶν Δαλμάτην τοὔνομα ἀντ' αὐτοῦ σφραγίσας, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Νατάλιος ξίφει τελειοῦται».

Χοροῦ γενέσθαι μαρτύρων διὰ ξίφους,
τὸν Νατάλιον μαρτυροῦσιν αἱ βίβλοι.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Βαρλαὰμ ἐν εἰρήνῃ τελειοῦτ(αι).

Τὸν Βαρλαὰμ ἔγνωκε καὶ τὰ γῆς ἄκρα
ἄκρως ἐνασκήσαντα, μέχρι γῆς ἔδυ.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτ(υ)ρ(ες) Ῥωμανὸς καὶ Μελέτιος ξίφει τελειοῦνται».

Ῥώμῃ Ῥωμανὸς συμπνέων Μελετίῳ,
ἥκει μετ' αὐτοῦ συντελεσθῆναι ξίφει.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Εὔπλος, βύρσῃ βοὸς ἑλιχθεὶς καὶ ἐν φλέγοντι ἡλίῳ τεθείς, τελειοῦται».

Φλέγουσι βυρσέλικτον Εὔπλον ἡλίῳ,
οἱ φῶς νοητοῦ μὴ βλέποντες ἡλίου.

κϛ΄ «Μηνὶ τῷ αὐτ(ῷ) λα΄. Μνήμη τοῦ ἁγίου μάρτυρος Ἑρμείου».

Βάπτεις σεαυτὸν κογχύλῃ σῶν αἱμάτων,
Ἑρμεία τμηθείς, ὢ βαφῆς ἀνεκπλύτου!
Ἑρμείαν τριακοστῇ ἄορ κατέκτανε πρώτῃ.

Ἀκολουθεῖ (φφ. 104β - 105α) σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Ἀντωνίνου τοῦ βασιλέως ἐν τῇ πόλει Κομάν(ων)· τὸν στρατιωτικὸν βίον μετελθὼν [...]
(φ. 105α) Τελ.: [...] εἶθ' οὕτω τὸν αὐχένα τμηθείς, ἀφίπταται καὶ ἀνατρέχει πρὸς οὐ(ρα)νόν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰωάννου ἐπισκόπου Γοτθίας».

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις τοῦ Μεγάλου Κωνσταντίνου, ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Ἰωάννης ἤκμαζεν ἐν τῇ χώρᾳ τῶν Γότθων [...]
(φ. 105β) Τελ.: [...] ἅτινα διὰ τὸν ὄγκον ἐάσαντες, τέλος, τῷ λόγῳ δεδώκαμεν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ τῷ ἁγίῳ Ἑρμείᾳ κεράσας φάρμακον μάγος, πιστεύσας εἰς Χ(ριστό)ν, ξίφει τελειοῦται».

Γεύσει μόνῃ τοῦ φαρμάκου τοῦ σοῦ λόγε,
πλάνην ἐμοῦντα φαρμακὸν[1] κτείνει ξίφος.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρες πέντε οἱ ἐν Ἀσκάλωνι πυρὶ τελειοῦνται».

Ἱμάτια πρίν, νῦν δὲ πέντε Κ(υρί)ῳ,
ἀνδρῶν συρέντων, στρῶσ(ις) ἡπλώθη ξένη.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Εὐσέβιος καὶ Χαραλάμπης πυρὶ τελειοῦνται».

Ζήλου πυρὶ φλεχθέντες ἀθληταὶ δύο,
ἰλιγγιῶσιν οὐδαμῶς πρὸς πῦρ φλέγον.

Δ΄ «Μὴν Ἰ ο ύ ν ι ο ς, ἡμέρας ἔχων τριάκοντα· ἡ ἡμέρα ἔχει ὥρας ιε΄ καὶ ἡ νὺξ ὥρας θ΄».

α΄ «Εἰς τὴν πρώτην μνήμη τοῦ ἁγίου μάρτυρος Ἰουστίνου τοῦ Φιλοσόφου».

Ἰουστῖνον κώνειον ἦρεν ἐκ βίου,
ὡς εἴθε πρῶτον τοὺς πιεῖν δεδωκότας.
Πρώτῃ Ἰουνίου ἐλλεβορίζῃ Ἰουστῖνε.

1. φαρμακόν: φάρμακον cod.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἀπὸ Φλαβίας Νεαπόλεως τῆς Συρίας· υἱὸς Πρίσκου τοῦ Βακχείου [. . .]
Τελ.: [. . .] καὶ δολοφονηθεὶς ἀναιρεῖται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων μαρτύρων· Ἰούστου· Χαρίτωνος· Χαριτοῦς· Εὐελπίστου· Ἱέρακος· Παίωνος καὶ Βαλλεριανοῦ».

Οὔπω τεμ(εῖν) Ἰοῦστ(ον) ὤφθη τὸ ξίφος,
καὶ τὴν κεφαλὴν ἦν κλίνων Ἰουστῖνος.

Θεῖος Χαρίτων καὶ Χαριτὼ παρθένος,
τμηθέντες εὐμοιροῦσι θείων χαρίτων.

Εὔελπις Εὐέλπιστός ἐστιν εἰκότως,
ὡς κλῆρον ἕξει τὸν Θ(εὸν) τμηθεὶς κάραν.

Ὁρμᾷ πρὸς ἄθλους Ἱέραξ ὡς ἱέραξ,
τμηθεὶς δὲ θηρᾷ ψυχικὴν σ(ωτη)ρίαν.

(φ. 106α) Παίων || ὁ Παίων δυσσεβῆ πλάνην λόγοις,
χειρὶ ξιφήρει παίεται κατ' αὐχένος.

Δείξεις τί καὶ σὺ τῷ Θ(ε)ῷ τμηθὲν μέλος,
μελῶν τὸ κρεῖττον, Βαλλεριανέ, κάραν.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ἤθλησαν ἐν Ῥώμῃ ἐπὶ Ῥουστικοῦ τοῦ ἐπάρχου [. . .]
Τελ.: [. . .] καὶ οὕτω τὰς κεφαλὰς ἀπετμήθησαν.

«Τῇ αὐτῇ ἡμέρᾳ διήγησις ὠφέλιμος περὶ γεωργοῦ τινος Μετρίου λεγομένου».

Ἀρχ.: Ἐν τῷ θέματι τῆς Παφλαγονίας, γεωργός τις ἦν, ἐν αὐταρκείᾳ βιῶν· Μέτριος οὕτω λεγόμενος [. . .]
(φ. 107α) Τελ.: [. . .] τούς τε γεννήτορας καὶ ἅπαν τὸ γένος αὐτοῦ μυρίων ἐμπλήσας ἀγαθῶν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Νέων ξίφει τελειοῦτ(αι)».

Ἐρυθρὸν ἡμῖν ἡ γραφὴ πόντον λέγει,
(φ. 107β) καὶ γῆν ἐρυθρὰν || ἐκτμηθεὶς τελεῖ Νέων.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος ἐπίσκοπος Πύρρος ὁ παρθένος ἐν εἰρήνῃ τελειοῦται».

Ἔστησε Πύρρος πύργον ἁγνείας μέγαν,
δι' οὗ θεωρεῖ τὸν Θ(εό)ν, χοῦν θεὶς κάτω.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγί(ων) μαρτύρων Ἑρμύλου καὶ Στρατονίκου τῶν ἐν τῇ Ὀξείᾳ· καὶ τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ὑπατίου· καὶ τοῦ ἁγίου μάρτυρος Ἐράσμου· καὶ τ(ῶν) ἁγί(ων) μυρίων μαρτύρων τ(ῶν) ἀθλησάντων ἐν Ἀντιοχείᾳ ἐπὶ τῆς βασιλείας Δεκίου».

β' «Μηνὶ τῷ αὐτ(ῷ) δευτέρᾳ. Μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς Νικηφόρου π(ατ)ριάρχου Κωνσταντινουπόλεως».

Τοῦ π(ατ)ριάρχου π(ατ)ριάρχης πλησίον,
θείου γέροντος Ἀβραὰμ Νικηφόρος.
Δευτέρῃ Νικηφόρος ἐν Ἐδὲμ εὕρατο μοίρην.

Ἀκολουθεῖ (φφ. 107β - 108α) σύντομον συναξάριον τοῦ ἁγίου.

Ἄρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ δυσσεβοῦς· γέννημα καὶ θρέμμα τῆς βασιλίδος τῶν πόλεων [...]
(φ. 108α) Τελ.: [...] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων τῶν μεγάλων, ἔνθα τὸ τίμιον αὐτοῦ κατάκειται λείψανον.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀλεξάνδρου π(ατ)ριάρχου Κωνσταντινουπόλεως».

Σχοίνους διαδρὰς Ἀλέξανδρος σαρκίου
σχοίνισμα κλήρου χρηματίζει[1] Κ(υρίο)υ.

Ἀκολουθεῖ (φ. 108α-β) σύντομον συναξάριον τοῦ ἁγίου.

Ἄρχ.: Οὗτος ὁ μακάριος Ἀλέξανδρος πάσης ἀρετῆς ἦν πεπληρωμένος [...]
(φ. 108β) Τελ.: [...] ὁ δὲ μακάριος Ἀλέξανδρος, ποιμάν(ας) τὴν τοῦ Θ(εο)ῦ ἐκκλησίαν ἐπὶ χρόνοις τρισὶ πρὸς τοῖς εἴκοσιν, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι τριακονταοκτώ, ἐν τῷ λουτρῷ βληθέντες, τελειοῦνται».

Μάτην ἀθληταῖς φράττεται λουτροῦ θύρα,
Χ(ριστὸ)ς γὰρ ἐγγύς· ἐκβοῶν, ἐγὼ θύρα.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία μ(ήτ)ηρ μετὰ τριῶν τέκνων ξίφει τελειοῦνται».

Σὺν παιδίοις τμηθεῖσα μ(ῆτ)ερ καλλίπαι,
ἰδού, βοᾷς, ἐγώ τε καὶ τὰ παιδία.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Γερασίμου καὶ τοῦ ἁγίου μάρτυρος Ἀκακίου».

γ´ «Μηνὶ τῷ αὐτῷ γ´. Μνήμη τοῦ ἁγίου μάρτυρος Λουκιλλιανοῦ (καὶ) Παύλης (καὶ) τ(ῶν) σὺν αὐτοῖς νηπίων· Κλαυδίου· Ὑπατίου· || (φ. 109α) Παύλου καὶ Διονυσίου».

Λουκιλλιανῷ πήγνυται στ(αυ)ρ(ὸ)ς κάτω,
οὐχ ὡς ὁ Χ(ριστο)ῦ καὶ τίτλον φέρων ἄνω.
Στ(αυ)ρῷ ἀμφὶ τρίτην Λουκιλλιανὸν θανάτωσαν.

Οὐκ ἄξια πρὸς μέλλον ὡς Παῦλος κλέος,
τὰ νῦν πάθη, φάσκουσα τέμνεται Παῦλα.

Τοὺς παιδαρίσκους ὧν[2] ἀριθμὸς δὶς δύο,
Θ(εο)ῦ πατρὸς τίθησιν υἱοὺς ἡ σπάθη.

1. χρηματίζεις cod. 2. οὓς cod.

Ἀκολουθεῖ (φ. 109α-β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος μάρτυς Λουκιλλιανὸς ἦν κατὰ τοὺς χρόν(ους) Αὐρηλιανοῦ τοῦ βασιλέως· ἱερεὺς τῶν εἰδώλων τὸ πρότερον [...]
(φ. 109β) Τελ.: [...] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ, τῷ ὄντι πλησίον τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῇ Ὀξείᾳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀθανασίου τοῦ θαυματουργοῦ».

Ἀκολουθεῖ (φφ. 109β - 110α) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν καὶ μέγας Ἀθανάσιος, ὁ τὴν ἐπονομαζομένην Τραϊανοῦ μονὴν τοῖς θαύμασι καταπλουτήσας [...]
(φ. 110α) Τελ.: [...] θαύματα δὲ πολλὰ μετὰ θάνατον καὶ ἀναρίθμητα πεποίηκεν εἰς δόξαν τοῦ φιλαν(θρώπ)ου Θ(εο)ῦ.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ὁσία Ἱερία ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Οὖσα φρονουσῶν τοῦ μέρους Ἱερία,
νυμφῶνος οὐκ ἔμεινεν ἔξω Κ(υρίο)υ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Πάππος ἐν εἰρή(νῃ) τελειοῦται».

Τέθνηκε Πάππος, οὐχὶ πάππος ἐκγόνῳ,
π(ατ)ὴρ δὲ μᾶλλον ἀρετῶν θυγατέρων.

δʹ «Μη(νὶ) τῷ αὐτ(ῷ) δʹ. Μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Μ(ητ)ροφάνους ἀρχιεπισκόπου Κωνσταντινουπόλεως».

Γῆς μ(ητ)ρ(ὸ)ς ἐκστὰς Μ(ητ)ρόφανες παμμάκαρ,
ἐκεῖ μετῆρ(ας), οὗ π(ατ)ὴρ πάντ(ων) μέγας.
Μ(ητ)ροφάνης δὲ τετάρτῃ ἔδυ χθόνα βοτιάνειραν.

Ἀκολουθεῖ (φφ. 110α - 111α) συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἦν ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ Μεγάλου βασιλέως· υἱὸς ὑπάρχων Δομετίου [...]
(φ. 111α) Τελ.: [...] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις [...] ἐν τῷ Ἑπτασ||κάλῳ, ἔνθα τὸ τίμιον αὐτοῦ καὶ ἅγιον κατάκειται λείψανον.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας μ(ητ)ρ(ὸ)ς ἡμ(ῶν) Σοφίας· τῆς ἀσκητικῶς καὶ ὁσίως βιωσάσης».

Ἀκολουθεῖ συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ὥρμητο μὲν ἐκ πόλεως Αἴνου· γονέων δὲ εὐσεβ(ῶν) γενομένη θυγάτηρ [...]
(φ. 111β) Τελ.: [...] καὶ τελευταῖον ἀποκειραμένη, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἰω(άννης), ὁ ἡγούμ(εν)ο(ς) τῆς μονῆς Μοναγρίας, ἐν σάκκῳ βληθεὶς καὶ εἰς θάλασσαν βληθείς, τελειοῦτ(αι)».

Κἂν σάκκος ἔξῃ καὶ βυθοῦ κρύψῃ τόπος,
τὸν Ἰωάννην οὐ(ρα)νοῦ λάβῃ τόπος.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἀλώνιος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ψυχῶν γεωργὸν Ἀλώνιος ἡδύνει,
ψυχῆς ἅλωνι θεὶς καλῶν θημωνίαν.

«Τῇ αὐτῇ ἡμέρᾳ αἱ ἅγιαι Μαρία καὶ Μάρθα, αἱ ἀδελφαὶ τοῦ δικαίου Λαζάρου, ἐν εἰρήνῃ τελειοῦνται».

Ἐκ Βηθανίας τὰς ἀδελφὰς Λαζάρου,
σῴζειν δύνασθαι καὶ νεκρὰς πιστευτέον.

ε΄ «Μη(νὶ) τῷ αὐτῷ, ε΄. Μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας».

Ἦν Εὐστάθιος, μέχρις ἦν ζῶν καὶ πνέων,
Θ(εο)ῦ κατ' ἐχθρῶν εὐσταθὲς μάλα πνέων.
Εὐστάθιος πέμπτῃ γε φίλης αἰῶνος ἤμερσεν.

«Τὸ συναξάριον αὐτοῦ ἐγράφη εἰς τὸν φευρουάριον».

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἱλαρίωνος τοῦ νέου, ἡγουμένου μονῆς τῶν Δαλμάτων».

Ἀκολουθεῖ (φφ. 111β - 112β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος Ἱλαρίων, π(ατ)ρ(ὸ)ς μὲν ὑπῆρχε Πέτρου Καππάδοκος, μ(ητ)ρ(ὸ)ς δὲ Θεοδοσίας [. . .]
(φ. 112β) Τελ.: [. . .] καὶ θεοπρεπῶς καὶ θεαρέστως τοὺς μαθητὰς διϊθύνας, ἀπῆλθε πρὸς Κ(ύριο)ν· ἐτῶν ὑπάρχων ἑβδομήκοντα.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων δέκα μαρτύρων· Μαρκιανοῦ· Νικάνδρου· Ἀπόλλωνος· Λεωνίδου· Ἀρείου· Γεωργίου· Ὑπερεχίου· Σεληνιάδος· Εἰρήνης καὶ Πάμβωνος».

Πεινῶσι καὶ διψῶσιν ἀθληταῖς δέκα,
τρυφὰς Θ(εὸ)ς δίδωσι μὴ πληρουμένας.

(φ. 113α) «Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Χριστοφόρος ὁ ἀπὸ Ῥώμης ξίφει τελειοῦτ(αι)».

Μὴ δωρεάν σοι τέμνεται Χριστοφόρος;
δώσεις ὁ Χ(ριστό)ς, οἶδα, πολλά μοι στέφη.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Κόνων ὁ ἀπὸ Ῥώμης ἐν τῇ θαλάσσῃ τελειοῦτ(αι)».

Εἰσδὺς Κόνων θάλασσαν εὗρε λιμένα,
ἄριστα χερσὶν οἰακισθεὶς Κ(υρίο)υ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς μετὰ φιλαν(θρωπ)ίας ἐπενεχθείσ(ης) ἡμῖν φοβερᾶς ἀνάγκης ἐν τῇ τῶν βαρβάρων ἐπιδρομῇ· ὅτε, μέλλοντας πάντας ὑπ' αὐτῶν δικαίως αἰχμαλωτίζεσθαι καὶ φόνῳ μαχαίρας παραδίδοσθαι, ὁ οἰκτίρμων καὶ φιλάν(θρωπ)ος Θ(εὸ)ς διὰ σπλάγχνα ἐλέους αὐτοῦ, παρ' ἐλπίδα πᾶσαν, ἐλυτρώσατο ἡμᾶς».

«Τῇ αὐτῇ ἡμέρᾳ αἱ ἅγιαι μάρτ(υ)ρ(ες) Αἰσία καὶ Σωσάννα, αἱ μαθήτριαι τοῦ ἁγίου Παγκρατίου ἐπισκόπου Ταυρομενίου, πυρὶ τελειοῦνται».

Ὡς παρθενῶνα τὴν ἀναφθεῖσαν φλόγα,
εἰσῆλθον ἄμφω παρθενεύουσαι κόραι.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πέντε παρθένων· Μαρί(ας)· Μάρθας· καὶ τῆς συνοδείας αὐτῶν· καὶ τῆς ἁγίας μάρτ(υ)ρο(ς) Ζηναΐδος τῆς θαυματουργοῦ· τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν οἴκῳ τῷ ὄντι ἐν τοῖς Βασιλίσκου· καὶ τὰ ἐγκαίνια τοῦ ἁγίου Πέτρου· καὶ μνήμη τοῦ ἁγιωτάτου π(ατ)ριάρχ(ου) Ἐπιφανίου».

ς' «Μηνὶ τῷ αὐτῷ, ς'. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Δωροθέου ἐπισκόπου Τύρου».

Ὁ Δωρόθεος, κἂν φραγγελῶμαι, λέγει,
λείπουσι πολλὰ πρὸς τὰ Χ(ριστο)ῦ μοι πάθη.
Ἕκτῃ Δωροθέοιο δέμας πληγῇσι δαμάσθη.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Δωρόθεος ὁ ἀοίδιμος ἀνήρ, ἐπίσκοπος γέγονε Τύρου· πᾶσαν γραφικὴν ἐπιστάμενος ἱστορίαν [. . .]
(φ. 113β) Τελ.: [. . .] τὴν μακαρί(αν) ψυχ(ὴν) τῷ Θ(ε)ῷ παρέθετο· πολλὰ συγγράμματα πρότερον καταλιπών.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων μαρτύρων γυναικῶν· Κυρίας· Βαρι-ρίας, καὶ Μαρκίας».

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Αὗται ὑπῆρχον ἐκ πόλεως Καισαρείας τῆς Παλαιστίνης· διδαχθεῖσαι δὲ ὑπό τινος χριστιανοῦ τὴν εὐσέβειαν [. . .]
Τελ.: [. . .] ἐν αὐταῖς ταῖς βασάνοις ἐτελειώθη(σαν).

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτ(υ)ρ(ο)ς Γελασίου».
Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος μάρτυς τοῦ Χ(ριστο)ῦ Γελάσιος, διωγμοῦ ποτὲ καταλαβόντος [. . .]
Τελ.: [. . .] μικρὸν δέ τι μαστιχθείς, ἀπετμήθη τὴν κεφαλήν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἀνοὺβ ὁ σημειοφόρος ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Σημειοποιὸν καὶ θανὼν Ἀνοὺβ χάριν,
τοῖς ζῶσιν ὡς ζῶν μέχρι δεῦρο δεικνύει.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγ(ιος) Ἄτταλος ὁ θαυματουργὸς ἐν εἰρήνῃ τελειοῦται».

Εἰ θαυματουργὸς Ἄτταλος ζῶν, οὐ ξένον,
οὗ θαυματουργὸς ὕστερον χοῦς καὶ μόνος.

(φ. 114α) «Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Φώτας ἐν εἰρήνῃ τελειοῦται».

Τῶν ἀρετῶν τὰ φῶτα τὸν μέγαν Φώταν
καὶ νεκρὸν αὐγάζοντα πᾶσι μηνύει.

ζʹ «Μηνὶ τῷ αὐτῷ ζʹ. Μνήμη τοῦ ἁγίου μάρτυρος Θεοδότου ἐπισκόπου Ἀγκύρας».

Χεὶρ Θεόδοτον, ἣν Θ(εο)ῦ χεὶρ ξηράνοι,
Θ(ε)ῷ δοτὸν τίθησι πλήξασα ξίφει.
Θεόδοτος ἑβδομάτῃ τμηθεὶς ἕλε γαῖαν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐν Ἀγκύρᾳ τῆς Γαλατίας· διαβληθεὶς δὲ πρὸς τὸν Θεότεκνον τὸν ἡγεμόνα [. . .]
Τελ.: [. . .] καὶ τὰς πλευρὰς ξέεται· καὶ πρὸ(ς) τούτ(οις) τὴν κεφαλὴν ἀποτέμνεται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμ(η) τ(ῆς) ἁγί(ας) μ(άρτυ)ρ(ος) Ποταμίν(ης)».
Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Μαξιμιανοῦ τοῦ βασιλέως, ἦν ἐν Ἀλεξανδρείᾳ τῇ πόλει ἡ ἁγία αὕτη [. . .]
(φ. 114β) Τελ.: [. . .] καὶ οὕτω τὸ μαρτύριον αὐτῆς τελέσασα, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ὁσία Σεβαστιανὴ ἡ θαυματουργὸς ἐν εἰρήνῃ τελειοῦται».

Σεβαστιανῆς ὡς τὰ λοιπὰ τοῦ βίου
σεβαστὰ πᾶσι, καὶ τὸ τοῦ βίου τέλος.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἄνθιμος ὁ πρεσβύτερος ἐν εἰρήνῃ τελειοῦται».

Ἄνθην ἐνεγκὼν Ἄνθιμος χρηστοῦ βίου,
πρὸ τῆς τελευτῆς ἀρετῶν καρποὺς φύει.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Στέφανος ὁ πρεσβύτερος ἐν εἰρήνῃ τελειοῦται».

Ἐπώνυμος Στέφανος οὗ φορεῖ στέφους,
ὃ πρακτικὴ χεὶρ ἀρετῆς οἶδε πλέκειν.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρες Ταράσιο(ς) καὶ Ἰω(άννης) ξίφει τελειοῦνται».

Ἰωάννην τέμνουσι σὺν Ταρασίῳ,
οὐ πρὸς τὸ τέμνον ἐκταραχθέντας ξίφος.

ηʹ «Μη(νὶ) τῷ αὐτ(ῷ) ηʹ. Μνήμη τοῦ ἁγ(ίου) μεγαλομ(άρτυ)ρ(ος) Θεοδώρου τοῦ Στρατηλάτου».

Νεκρόν με Θεόδωρον ἡ π(ατ)ρὶς δέχου,
ὃν ζῶντα πλουτεῖ μαρτ(ύ)ρ(ων) π(ατ)ρὶς πόλος.
Ὄλβιον ὀγδοάτῃ Θεοδώρου σῶμα κομίσθη.

Ἀκολουθεῖ (φφ. 114β - 116α) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Ὁ στρατηλάτης καὶ μέγας Θεόδωρος κατὰ τοὺς χρόνους ἦν Λικινίου τοῦ βασιλέως· ἐκ μὲν π(ατ)ρίδος ὢν τῶν Εὐχαΐτ(ων) [. . .]
(φ. 116α) Τελ.: [. . .] πλατύτερον διεχάραξε· μηδὲν τ(ῆς) ἀληθείας προτιμησάμενος.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ὁσία Μελάνεια ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Τρέψασα Μελάνεια πν(εῦμ)α πᾶν μέλαν,
λευκὴ τὸ πν(εῦμ)α πρὸς Θ(εὸ)ν χωρεῖ λόγον.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἀθρὲ ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Κάλλη τὰ τῆς γῆς ἐμφρόνως διαπτύσας,
ἀθρεῖς τὸ κάλλος, Ἀθρέ, τοῦ σοῦ δεσπότου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Νίκανδρος ξίφει τελειοῦται».

Ἀλλ' οἶδα καὶ Νίκανδρον ἄνδρα γεννάδαν,
νίκης λαβόντα τὸ στέφος διὰ ξίφους.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Μάρκος ξίφει τελειοῦται».

Τμηθεὶς ὁ Μάρκος θυμιᾷ τῷ Κ(υρί)ῳ,
ἀτμὸν προπέμπων ἐκ ζεόντων αἱμάτων.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ναυκράτιος ἐν εἰρήνῃ τελειοῦται».

Γῆν Ναυκρά<τιος> ἐκπερῶν, ἐπιτρέπει
τὴν ψυχικὴν ναῦν τῷ κυβερνήτῃ λόγῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ σύναξις τῆς ὑπεραγίας Θ(εοτό)κου· καὶ τοῦ ἀρχαγγέλ(ου) Μιχαὴλ ἐν τῷ Σωσθενείῳ».

θ' «Μη(νὶ) τῷ αὐτῷ θ'. Μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας».

Θανὼν Κύριλλος τῆς Ἀλεξάνδρου πάπας,
πρὸς Κ(ύριο)ν μετῆλθε πάντων κυρίων.
Εὔρατο τυμβοχοὴν ἔνατον Κύριλλος ἐς ἦμαρ.

«Τὸ συναξάριον αὐτοῦ ἐγράφη ἰαννουαρίῳ ὀκτὼ καὶ δεκάτῃ».

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πέντε κανονικῶν ὑπὸ τοῦ πρεσβυτέρου αὐτῶν ἀποτμηθεισῶν· Θέκλης· Μαριάμνης· Μάρθας· Μαρίας, (καὶ) Ἐννεείμ».

Ἀκολουθεῖ (φφ. 116α - 117β) συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Σαβὼρ τοῦ Περσῶν βασιλέως, πλησίον τῆς κώμης Ἀζᾶ, ἦν τις πρεσβύτερος Παῦλος τοὔνομα [. . .]
(φ. 117β) Τελ.: [. . .] καὶ τὰ προειρημένα παρὰ τῶν ἁγίων γυναικῶν· τοῦ ἀθλιωτ(ά)τ(ου) Παύλου διπλοῦν ὑποστάντος θάνατον.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος ἱερομ(ά)ρ(τυς) Ἀλέξανδρος, ἐπίσκοπος Προύσης, ξίφει τελειοῦτ(αι)».

Πανευπρεπής σοι κόσμος ἱερωσύνης,
ὁ λαμπρὸς ἆθλος, Ἀλέξανδρε, τοῦ ξίφους.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Ἀνανίας ξίφει τελειοῦτ(αι)».

Τὴν γλῶσσαν εἶχεν ὡς σπάθην κατὰ πλάνης,
Ἀνανίας ὁ μάρτυς ὃν κτείνει σπάθη.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Κῦρος ἐν εἰρή(νῃ) τελειοῦται».

Μὴ τὴν νοητὴν εἰκόνα χράνας Κῦρε,
Θ(ε)ῷ παρέστης οὗπερ εἶ κατ' εἰκόνα.

«Τῇ αὐτῇ ἡμέρᾳ αἱ ἅγιαι τρεῖς μάρτ(υ)ρ(ες) καὶ παρθένοι αἱ ἀπὸ Χίου ξίφει τελειοῦντ(αι)».

Ἐστιμμίσαντο τῇ χρόᾳ τῶν αἱμάτων,
νύμφαι Θ(εο)ῦ τρεῖς, ἃς ἀνεῖλε τὸ ξίφος.

ι' «Μη(νὶ) τῷ αὐτῷ ι'. Μνήμη τῶν ἁγίων μαρτύρων Ἀλεξάνδρ(ου) καὶ Ἀντωνίν(ης)».

Βάλλουσιν Ἀλέξανδρον εἰς πυρὸς βόθρον,
φυγόντα βόθρον πίστε(ως) ἑλληνίου.

Πιττοῦσι καὶ ῥίπτουσιν ἐμπύρῳ βόθρῳ,
τὴν Ἀντωνῖναν οἱ πλάνης βόθρου μέσον.
Τλῇ δεκάτῃ μόρον Ἀντωνῖνα, μόρον ἐμπυρόπισσον.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ἡ ἁγία μάρτυς Ἀντωνῖνα ἦν ἀπὸ κώμης Κροδάμων· σεμνῶς καὶ ὁσίως τὸν βίον διάγουσα [. . .]
(φ. 118α) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ μονῇ τῶν Μαξιμίνου, διακειμένῃ ἐν Κωνσταντινουπόλει, ἔνθα τὰ τίμια αὐτῶν κατάκεινται λείψανα.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μάρτυρος Νεανίσκου τοῦ σοφωτάτου».
Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Μαξίμου ἡγεμονεύοντος ἐν Ἀλεξανδρείᾳ καὶ τοὺς χριστιαν(οὺς) διώκοντος καὶ τυραννοῦντος [. . .]
Τελ.: [. . .] ἀπελθὼν καὶ προσευξάμενος, ἀπετμήθη τὴν κεφαλήν.

(φ. 118β) «Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῶν ὁσίων (καὶ) μακαρί(ων) Θεοφάν(ους) καὶ Πανσέμνης».

Ὁ Θεοφάνης ἐτρυγήθης ἐκ βίου,
Θ(ε)ῷ φανεὶς πέπειρος ὡς εἰπεῖν βότρυς.

Εἰ καὶ θανούσης ἐκλαθοίμην Πανσέμνης,
καὶ Χ(ριστὸ)ς αὐτὸς εὐθὺς ἐκλάθοιτό μου.

Ἀκολουθεῖ (φφ. 118β - 119α) συναξάριον τῶν ὁσίων.

Ἀρχ.: Οὗτος ὁ ὅσιος Θεοφάνης ἐκ τῆς Ἀντιοχέων πόλεως ἦν· γεννηθεὶς δὲ ἐξ ἀπίστων καὶ δυσσεβῶν γονέων [. . .]
(φ. 119α) Τελ.: [. . .] ἐπιβιώσασα δὲ ἐνιαυτὸν ἕνα καὶ μῆνας δέκα, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν ἅμα τῷ ὁσίῳ καὶ θαυματουργῷ Θεοφάν(ει).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγί(ου) ἱερομάρτυρος Τιμοθέου ἐπισκόπου Προύσης, διὰ ξίφους τελειωθ(έν)τ(ος)».

Ὁ Τιμόθεος ἐκ ξίφους θνῄσκ(ειν) θέλει,
θεοὺς ἀτίμους μηδαμ(ῶς) τιμᾶν θέλων.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Βενιαμίν, πάλου ἐν τῷ ἀφεδρῶνι αὐτοῦ ἐμβληθέντος, τελειοῦται».

Ἀθλητικῷ κλυστῆρι, τῷ πάλῳ λέγω,
πᾶν Βενιαμ(ὶν) ψυχικὸν κενοῖ βάρος.

ια΄ «Μηνὶ τῷ αὐτῷ ια΄. Μνήμη τῶν ἁγί(ων) ἀποστόλ(ων) Βαρθολομαίου καὶ Βαρνάβα».

Καὶ σὸς μαθητὴς Χ(ριστ)ὲ Βαρθολομαῖος,
μιμούμενός σε καὶ φέρων στ(αυ)ροῦ πάθος.

Ὑπὲρ λίθον σάπφειρον, ὡς Γραφὴ λέγει,
τοὺς συντρίβοντας εἶχε Βαρνάβας λίθους.

Ἑνδεκάτῃ στ(αύ)ρωσαν ἔμφρονα Βαρθολομαῖον.

Ἀκολουθεῖ συναξάριον τῶν ἀποστόλων.

Ἀρχ.: Τούτων ὁ μὲν Βαρθολομαῖος, εἷς ἦν τῶν δώδεκα μαθητῶν[. . .]
(φ. 119β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) μάρτ(υς) Θεόπεμπτος μεθ' ἑτέρων τεττάρω(ν) συμμαρτύρων ξίφει τελειοῦνται».

Ὁ Θεόπεμπτος τέσσαρας διὰ ξίφους,
εὑρὼν συνάθλους, πέμπτος αὐτὸς εὑρέθη.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς [sic] Ἀπολλώς, ἐπίσκοπο(ς), ἐν εἰρήνῃ τελειοῦται».

Ὡς χρηστὸς ὄντως ὁ ζυγός σου Χ(ριστ)έ μου,
ὃν ζῶν ὑπῆλθον Ἀπολλὼς θανὼν λέγει.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσ(ιος) Ζήνων ἐν εἰρήνῃ τελειοῦται».

Χ(ριστ)ῷ σύνεστιν ὥσπερ ἤλπισε Ζήνω(ν),
τὸ τῆς Γραφῆς γάρ, ἐλπὶς οὐ καταισχύνει.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Τριφύλλιος, ἐπίσκοπος, ἐν εἰρή(νῃ) τελειοῦται».

Ἔστηκε Τριφύλλιος Ὑψίστου πέλας,
ὁρῶν τὸ τριπρόσωπον Ὑψίστου σέλας.

ιβ' «Μη(νὶ) τῷ αὐτῷ ιβ'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ὀνουφρίου».

Καὶ τὴν ἑνὸς χιτῶνος ἐντολήν, π(άτ)ερ,
ὑπερβέβηκας, γυμνητεύσας εἰς τέλος.
Δωδεκάτῃ ἀχίτωνα Ὀνούφριον ἐκ βίου ἦραν.

Ἀκολουθεῖ (φφ. 119β - 120α) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐξ Αἰγύπτου ἐν κοινοβίῳ [. . .]
(φ. 120α) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ εὐκτηρίῳ, τῷ ὄντι ἐν τῇ μονῇ τοῦ Ἀλυπίου.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Ἀντωνίνης».

Θάλαμος ἡ θάλασσα νυμφικὸς γίνῃ,
Ἀντωνῖναν κρύπτουσα, νύμφην Κ(υρίο)υ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐκ πόλεως Νικαίας κατὰ τ(οὺς) χρόνους Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ [. . .]
Τελ.: [. . .] καὶ ἐν θαλάσσῃ ῥιφεῖσα, τὸν διὰ μαρτυρίου κομίζεται στέφανον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Ἰουλιανὸς ὁ ἐν τῷ Δαγούτ(ῃ) ἐν εἰρή(νῃ) τελειοῦται».

Ἰουλιανὸς θάπτετ(αι) π(ατ)ὴρ μέγας,
τάφου τὸν οὐδὸν ἡμερῶν πλήρης φθάσας.

ιγ' «Μη(νὶ) τῷ αὐτῷ ιγ'. Μνήμη τῆς ἁγίας μάρτυρος Ἀκυλίνης».

(φ. 120β) Τὸν παστὸν εὐτρέπιζε λαμπρὸν νυμφίε,
Ἀκυλῖνά σοι τέμνεται νύμφη νέα.
Ἀμφὶ τρίτην δεκάτ(ην) κεφαλ(ὴν) τμήθη Ἀκυλῖνα.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως· ἐκ πόλεως Βύβλου τῆς Παλαιστίνης [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρίῳ, τῷ ὄντι ἐν τοῖς Φιλοξένου, πλησίον τοῦ Φόρου ἐν τῷ περιτειχίσματι.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἰακώβου τοῦ ἐξ ἀπάτ(ης) προσκυνήσαντος τὸν ἀντίχριστον».

Ἀκολουθεῖ (φφ. 120β - 121α) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος Ἰάκωβος τὸν Χ(ριστὸ)ν ἀγαπήσας καὶ τὸν κόσμον μισήσας [. . .]
(φ. 121α) Τελ.: [. . .] καὶ θαυματουργὸς ἐξαίσιος γεγονώς, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἀντίπατρος, ἐπίσκοπος Βόστρων, ἐν εἰρή(νῃ) τελειοῦται».

Τὸν Ἀντίπατρον πλούσιον σ(ῶτ)ερ δέχῃ,
τῶν ἀρετῶν φέροντα κορβανᾶν μέγαν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Εὐλόγιος, π(ατ)ριάρχης Ἀντιοχείας, ἐν εἰρή(νῃ) τελειοῦται».

Τὴν βασιλείαν κλῆρον εὗρε τὴν ἄνω,
σὺν π(ατ)ρ(ὸ)ς Εὐλόγιος εὐλογημένοις.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μύριοι μάρτυρες ξίφει τελειοῦνται».

Νικᾷ πεσοῦσα μυριὰς διὰ ξίφους,
πίπτουσα καὶ γὰρ ἡ Θ(εο)ῦ νικᾷ φάλαγξ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Διόδωρος ὁ ἐξ Ἐμέσης στ(αυ)ρωθεὶς τε(λειοῦται)».

Ἀνῆλθε Διόδωρος εἰς στ(αυ)ροῦ ξύλον,
τιμῶν Ἰ(ησοῦ)ν, οὗ πόθος στ(αυ)ροῦ ξύλον.

ιδʹ «Μη(νὶ) τῷ αὐτῷ ιδʹ. Μνήμη τοῦ ἁγίου προφήτου Ἐλισσαίου».

Ἠλίαν ἵπποι, τὸν δὲ διπλοῦν Ἠλίαν,
εἰς οὐ(ρα)νοὺς ἀνῆγον ὡς ἵπποι νόες.
Πότμον Ἐλισσαῖος δεκάτῃ λάχ(εν) ἠδὲ τετάρτῃ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἦν υἱὸς Σαφὰτ ἐξ Ἀελμούθ, ἐκ τῆς γῆς τοῦ Ῥουβίμ [. . .]
(φ. 121β) Τελ.: [. . .] καὶ ἄλλα πολλὰ πεποίηκε θαύματα· τελεῖτ(αι) δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ προφητείῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Μεθοδίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως».

Μεθόδιον φωστῆρα τῆς ἐκκλησίας,
τὸ τῆς τελευτῆς σβεννύει στυγν(ὸν) νέφος.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὁ ἅγιος καὶ μέγας ἀρχιερεὺς καὶ ὁμολογητὴς τοῦ Χ(ριστο)ῦ Μεθόδ(ιος), τὴν πλάνην τῆς αἱρέσεως τῶν εἰκονομάχων [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ οἴκῳ τῷ ὄντι ἔνδον τῶν ἁγίων Ἀποστόλων τῶν μεγάλων· ἐν ᾧ καὶ τὸ τίμιον αὐτοῦ κατάκειται λείψανον.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγ(ίου) ἱερομάρτυρος Κυρίλλου ἐπισκόπου Γορτύνης τῆς Κρητ(ῶν) νήσου».

Εἰ καὶ γέρων Κύριλλος ἦν ὁ Γορτύνης,
ἡβῶσαν εἶχε πρὸ(ς) ξίφος τὴν καρδίαν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἀσκητικῶς καὶ ὁσίως βιώσας [. . .]
Τελ.: [. . .] τὸν αὐχένα ὑποθεὶς τῷ ξίφει, τὴν κεφαλὴν ἀπετμήθη.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ὁσία Ἰουλῖττα ἐν εἰρή(νῃ) τελειοῦται».

Τὴν Ἰουλῖτταν ἐξάγει τοῦ σαρκίου,
ὁ σὰρξ δι' αὐτήν, τοῦ Θ(εο)ῦ φανεὶς λόγος.

ιε' (φ. 122α) «Μη(νὶ) τῷ αὐτῷ ιε'. ‖ Μνήμη τοῦ ἁγίου προφήτου Ἀμώς».

Ἀμὼς ὁ συκάμινα κνίζων αἰπόλος,
Ἐδὲμ τρυγᾷ τὰ φύλλα μὴ κνίζων ἔτι.
Πέμπτῃ ἐκ βιότοιο Ἀμὼς δεκάτῃ ἀποέπτη.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἦν ὁ π(ατ)ὴρ Ἠσαΐου τοῦ προφήτου [. . .]
Τελ.: [. . .] εἰς ὀξὺ ἔχων ἀπολῆγον τὸ γένειον· παρόμοιος τῷ ἁγίῳ Ἰω(άννῃ) τῷ θεολόγῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Δουλᾶς ξεόμ(εν)ο(ς) τελειοῦται».

Δουλᾶς ξοάνοις δουλικὸν μὴ δοὺς σέβας,
ἤνεγκε σαρκὸς ὡς Θ(εο)ῦ δοῦλος ξέσεις.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ τοῦ Ζεφυρίου Πραιτωριάδος, ἐπαρχί(ας) τ(ῆς) Κιλικί(ας) [. . .]
(φ. 122β) Τελ.: [. . .] εἶτα ἐλασθ(εὶς) ἕ(ως) εἰκοστοῦ μιλίου, τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρέθετο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) ἀπόστολος Φουρτουνάτος ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Φουρτουνάτος καύχημα τοῖς ἀποστόλοις,
καὶ τοῖς ἀθληταῖς τὴν κάραν τετμημένος.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) ἀπό(στολος) Ἀχαϊκὸς λιμῷ καὶ δίψει τελειοῦται».

Λιμὸν λύει σοι καὶ τὸ δίψος παμμάκαρ,
ὃς εἶπε, διψῶ, δεσπότης ἐπὶ ξύλου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος ἀπό(στολος) Στεφανᾶς ἐν εἰρή(νῃ) τελειοῦται».

Ἔργῳ στεφανοῦν[1] τὸν Στεφανᾶν μοι νόει,
φοροῦντα τὸν στέφανον οὗ βραβεῖς πόνοι.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ὀρτίσιος ἐν εἰρή(νῃ) τελειοῦται».

Ἄμωμος Ὀρτίσιος ἥκει σοι λόγε,
οὗ μῶμον εἰπεῖν, οὐδ' ὁ μῶμος ἰσχύσει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Ἱερώνυμος ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Ἱερώνυμον τὸν μέγαν τεθνηκότα,
μέγας μένει στέφανο(ς) οὐκ ἀπεικότ(ως).

---

1. στεφανᾶν cod.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία Γραῦς ξίφει τελειοῦτ(αι)».

Θύεις θεοῖς Γραῦ, ἢ ταθῇ σοι τὸ ξίφος;
Χαίρω, ταθήτω, τοῖς θεοῖς γὰρ οὐ θύω.

ις' «Μη(νὶ) τῷ αὐτῷ ις'. Μνήμη τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμῶν Τύχωνος τοῦ θαυματουργοῦ, ἐπισκόπου Ἀμαθοῦντος, πόλεως Κύπρου».

Βλάβην ὀλοθρεύοντος ἐκφυγ(ὼν) Τύχων,
ζωῆς τυχὼν γέγηθε τῆς ἀνωλέθρου.

Ἀκολουθεῖ (φφ. 122β - 123α) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος εὐσεβεῖς ἔχων (καὶ) φιλοχρίστους τοὺς κατὰ σάρκα γεννήτορας, ἀφιερώθη τῷ Θ(ε)ῷ παρ' αὐτῶν [. . .]
(φ. 123α) Τελ.: [. . .] πεπείρους καὶ τελεσφόρους καὶ εὐχρήστους πρὸς τὴν μετάληψιν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ σύναξις τῆς ὑπεραγί(ας) Θ(εοτό)κου ἐν Δοκιαναῖς».
«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Μάρκος, ἐπίσκοπος Ἀπολλωνιάδος, λίθων ἐν ταῖς χερσὶν αὐτοῦ κρεμασθέντ(ων) (καὶ) ἐξαρθρωθείς, τελειοῦτ(αι)».

Ζυγὸς σύ, Μάρκε, τῷ βάρει τῶν λίθων,
τὰς χεῖρας ὡς πλάστιγγας ἐκκρεμῶν κάτω.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι πέντε μάρτ(υ)ρ(ες), οἱ ἐκ Νικομηδείας, ξίφει τελειοῦνται».

Πίπτει συνάθλων πενταπύργιον μέγα,
σεισμῷ κλονηθέν, τῷ ξίφει τῶν δημίων.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι τεσσαράκοντα Ῥωμαῖοι πυρὶ τελειοῦντ(αι)».

Πῦρ πέντε· πέντε· πέντε· πέντε γεννάδας,
καὶ πέντε· πέντε· πέντε (καὶ) πέντε φλέγει.

ιζ' «Μη(νὶ) τῷ αὐτῷ ιζ'. Μνήμη τῶν ἁγίων μαρτ(ύ)ρ(ων)· Μανουήλ· Σαβὲλ (καὶ) Ἰσμαήλ».

Σαβέλ, Μανουήλ, Ἰσμαήλ, Πέρσαι γένος,
τὸ δ' ἀξίωμα μάρτυρ(ες) διὰ ξίφους.
Ἑβδομάτῃ δεκάτῃ κασιγνήτους τρεῖς τάμε χαλκός.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐκ Περσίδος αὐτάδελφοι [. . .]
(φ. 123β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ, τῷ ὄντι πλησίον τοῦ ἁγίου Ἠλιοὺ τοῦ προφήτου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου ἱερομάρτ(υ)ρ(ος) Φιλονείδους ἐπισκόπου Κορίνθου».

Ἀκολουθεῖ (φφ. 123β - 124α) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος, ἐν ταῖς ἡμέραις ἦν Διοκλητιανοῦ τοῦ βασιλέως, ἀποκεκλεισμένος φυλακῇ [. . .]

(φ. 124α) Τελ.: [. . .] 'Αρίστων δὲ ὁ ἐπίσκοπος τότε κρατηθεὶς καὶ οὐκ οἶδ' ὅπως ῥυσθείς, συνεγράψατο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος 'Ιωσὴφ ὁ ἀναχωρητής, ψάλλων ἱστάμενος, ἐν εἰρήνῃ τελειοῦται».

Θεῖος σὺ κύκνος 'Ιωσὴφ ἐν τῷ τέλει,
θνήσκων μετ' ᾠδῆς, ὡς κύκνους θνήσκειν λόγος.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Πίωρ ἐν εἰρήνῃ τελειοῦται».

Ψυχὴν Πίωρ πίειραν ἀρεταῖς ἔχων,
πίων ἀπῆλθε ψυχικοῦ πίους [sic] γέμων.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος 'Υπάτιος ὁ ἐν 'Ρουφινιαναῖς [. . .] ἐν εἰρήνῃ τελειοῦται».

Κεῖται θαλάσσης 'Υπάτιος πλησίον,
ὃς ὑπατεύει σὺν Θ(εο)ῦ φίλ(οις) ἄνω.

ιη' «Μη(νὶ) τῷ αὐτῷ ιη'. Μνήμη τοῦ ἁγίου μάρτ(υ)ρο(ς) Λεοντίου (καὶ) τῶν σὺν αὐτῷ».

Ἄκμων τὸ σῶμα τοῦ Λεοντίου τάχα,
ἄκμων σιδηρ(οῦς) πρὸς σφύρας τὰς αἰκί(ας).
'Ογδοάτῃ δεκάτῃ πληγῇσι Λεόντιος ἐκπνεῖ.

'Ακολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος τὴν μὲν γέννησιν ἔσχεν ἐξ 'Ελλάδος· μεγέθει δὲ σώματος συναυξηθεῖσαν ἔχων ἀλκὴν καὶ ῥώμην [. . .]
(φ. 124β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις πέραν ἐν τῷ Καμαριδίῳ καὶ ἐν τῷ εὐκτηρίῳ οἴκῳ αὐτοῦ, τῷ ὄντι ἔγγιστα τῆς Πηγῆς.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρες Ὕπατος καὶ Θεόδουλος, οἱ συμμαρτυρήσαντες τῷ ἁγίῳ Λεοντίῳ, ξίφει τε(λειοῦνται)».

'Ελευθερόφρων Θεόδουλος πρὸς ξίφος,
τοιοῦτον ὄντα καὶ τὸν Ὕπατον βλέπων.

(φ. 125α) «Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἔρασμος ἐν εἰρή(νῃ) τελειοῦται».

Θνήσκων Ἔρασμος ἡδέως ἔχω, λέγει,
ἐράσμιον γάρ ἐστι μοι τὸ τεθνάναι.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι δύο μάρτυρες οἱ ἐκ Κύπρου, τ(οὺς) πόδ(ας) καυθέντες, τελειοῦνται».

Καῦσιν ποδῶν στέρξαντες εἰς ὥραν μίαν,
αἰωνίως χαίρουσι μάρτυρες δύο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Λεοντίου τοῦ ποιμένος

πέραν τοῦ ἄστεως· καὶ μνήμη καὶ σύναξις τοῦ ἀρχιστρατήγου Μιχαὴλ πλησίον τοῦ ἁγίου Ἰουλιανοῦ ἐν τῷ Φόρῳ».

ιθ′ «Μη(νὶ) τῷ αὐτῷ ιθ′. Μνήμη τοῦ ἁγίου μάρτ(υ)ρ(ος) Ζωσίμου».

Ψυχὴν Ζώσιμος ὑπὲρ σοῦ θεὶς φιλτάτην,
ξίφει θανών, ζῇ ψυχικὴν ζωὴν λόγε.
Ἐννεακαιδεκάτῃ ξίφος εἷλε Ζώσιμον ὀξύ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ὑπῆρχε στρατιώτης ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως, ἐξ Ἀπολλωνιάδος τῆς ἐν Σωζοπόλει [. . .]
Τελ.: [. . .] καὶ οὕτω τὸν αὐχένα τμηθείς, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἰούδα τοῦ Θαδδαίου καὶ Λεβαίου ἐπικληθέντος».

Κλῆσις τριπλῆ σοι καὶ τριπλοῦν μάκαρ πάθος,
ἄρσις, δέσις τε· καὶ τρίτον τόξου τάσις.
Ἡρμένος ἐννεακαιδεκάτῃ γε ἔτλη Ἰούδας.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Οὗτος ἐκ τ(ῶν) ἑβδομήκοντα ἀποστόλων ἦν· δηλοῦσι δὲ ὅτι (καὶ) τοῦ μνήστορος Ἰωσὴφ γέγονεν υἱὸς [. . .]
(φ. 125β) Τελ.: [. . .] ἐν τῷ τοῦ εὐαγγελίου κηρύγματι, πρὸς τὸν ποθούμενον ἐπέρχεται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἰούδα τοῦ Ζηλωτοῦ».

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Ἰούδας ὁ τοῦ Κ(υρίο)υ ἀπόστολος, ὁ καὶ Ζηλωτὴς ἐπικληθείς, μετὰ τὴν τοῦ σ(ωτῆ)ρ(ο)ς εἰς οὐ(ρα)νοὺς ἀνάληψιν [. . .]
Τελ.: [. . .] καὶ πολλοὺς τῶν ἀπίστων βαπτίσας, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία μυροφόρος Μαρία, ἡ τοῦ Ἰωσῆ μ(ήτ)ηρ, ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Εὗρες θανοῦσα ζῶντα Χ(ριστὸ)ν Μαρία,
ὃν ἐν τάφῳ πρὶν νεκρὸν ἐζήτεις ἄπνουν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ἀσυγκρίτου, μαχαίρᾳ τελειωθέντος· τελεῖται δὲ ἡ αὐτοῦ σύναξ(ις) ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Ἰσιδώρου, ἔνδον τῆς ἐκκλησίας τ(ῆς) ἁγί(ας) Εἰρήν(ης) τῆς πρὸς θάλασσαν».

Ἀσύγκριτον σφαγέντα Κ(υρίο)υ πόθῳ
ἀσύγκριτα στέφουσιν ἀξίως στέφη.

κ′ «Μη(νὶ) τῷ αὐτῷ κ′. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Μεθοδίου ἐπισκόπου Πατάρων».

Τράχηλον ἐκτείναντι τῷ Μεθοδίῳ,
(φ. 126α) σπεκουλάτωρ τέμνουσ(αν) ἐκτείνει σπάθην.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ μακάριος ἐκ παιδόθεν ἑαυτὸν τῷ Θ(ε)ῷ ἀναθεὶς [. . .]
Τελ.: [. . .] αἵμασι μαρτυρικοῖς τὸ τέλος ἀπενεγκάμ(εν)ο(ς).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ εὕρεσις καὶ μετάθεσις τ(ῶν) λειψάνων καὶ περιβολαί(ων) τ(ῶν) ἁγίων ἀποστόλων (καὶ) εὐαγγελιστῶν Ἰω(άνν)ου (καὶ) Λουκᾶ· Ἀνδρέου· Θωμᾶ· Ἐλισσαίου τοῦ προφήτου, (καὶ) Λαζάρου τοῦ μάρτυρος, ἅτινα κατετέθησ(αν) ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων τῶν μεγάλων· κ(αὶ) μνήμη τ(ῶν) ἁγίων Ἀριστοκλέους πρεσβυτέρου· Δημητριανοῦ διακόνου καὶ Ἀθανασίου ἀναγνώστου».

Ἀριστοκλῆς ἄριστος ὄντως ὁπλίτ(ης),
πάντως γ(ὰρ) ἠρίστευσε τμηθεὶς τὴν κάραν,

Ἀθανάσιος εὗρεν ἀθανασίαν,
Δημητριανῷ συνθανὼν ἀπὸ ξίφους.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τούτων ὁ μὲν ἅγιος μάρτυς Ἀριστοκλῆς, τὸ γένος ἦν Κύπριος, πόλεως Ταμασοῦ [. . .]
(φ. 126β) Τελ.: [. . .] ἀπαθεῖς δὲ ἐν αὐτῷ φυλαχθέντες, διὰ ξίφους ἀναιρεθῆναι παρεκελεύσατο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἐν Ῥώμῃ δύο ἀσκηταὶ ἐν εἰρήνῃ τελειοῦνται».

Ἀνιπτόσαρκοι (καὶ) χαμαιεῦναι δύο,
ψυχὰς πλύναντες, ὕψος ᾤκησαν πόλου.

κα' «Μη(νὶ) τῷ αὐτ(ῷ) κα'. Μνήμη τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Κιλικίᾳ».

Φέρων τι χρῆμα σάκκος ἄξιον πόλου,
Ἰουλιανὸν βάλλεται πόντου μέσον.
Σάκκῳ Ἰουλιανὸς βυθ(ὸν) ἔδυ εἰκάδι πρώτῃ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ τῆς Ἀναζάρβου πόλεως· τῆς δευτέρ(ας) τῶν Κιλίκων ἐπαρχίας [. . .]
Τελ.: [. . .] μέσον τοῦ πελάγ(ους) ἀφίεται, καὶ οὕτω τὸν τοῦ μαρτυρίου στέφανον δέχεται.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Ἰουλιανὸ(ς) ὁ ἐν Αἰγύπτῳ ξίφει τε(λειοῦται)».

Ἰουλιανοῦ πᾶσα [sic] μακρὰν ὠχρία,
μᾶλλον γ(ὰρ) εὔχρουν εἶχ(εν) αὐτὸν ἡ σπάθη.

Ἀκολουθεῖ (φφ. 126β-128α) συναξάριον τοῦ μάρτυρος καὶ τῶν συμμαρτύρων του.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ ἡγεμόνος [. . .] μοναστήριον μέγιστον συστησάμενος [. . .]

(φ. 128α) Τελ.: [. . .] καὶ διαφθαρῆναι τόν τε ἡγεμόνα καὶ πολλοὺς τῶν Ἑλλήνων· τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ τῷ ὄντι πλησίον τοῦ Φόρου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγί(ων) μαρτ(ύ)ρ(ων) τῶν συμμαρτυρησάντων τῷ ἁγίῳ Ἰουλιανῷ· Ἀντωνίου πρεσβυτέρου· Ἀναστασίου τοῦ ἐκ νεκρῶν ἀναστάντος· Κελσίου· Βασιλίσσης τῆς αὐτοῦ μ(ητ)ρ(ό)ς· εἴκοσιν δεσμοφυλάκων, (καὶ) τῶν ἑπτὰ ἀδελ(φῶν)· πάντων διὰ ξίφους τελειωθέντων».

Κτείνας τὸν Ἀντώνιον ὁ σπαθηφόρος,
ἄκων ἑκόντα δεικνύει νικηφόρον.

Τί τῶν μελῶν πέπονθεν Ἀναστασίου,
ἐμοῦ, λέγεις· τράχηλος ἐκκοπεὶς ξίφει.

Δίδωσι μ(ητ)ρὶ Κέλσιος Βασιλίσσῃ,
καλὰ τροφεῖα συνθανὼν αὐτῇ ξίφει.

(φ. 128β) Εὔτολμος εἰκὰς δεσμοφρουρούντ(ων) μία,
ἀριστοφρονούντων ἐκ ξίφους ὤφθη μέρος.

Αἰῶνας ἐκτυποῦντ(ες) ἑπτὰ τοῦ βίου,
λείπουσιν ἑπτὰ σύγγονοι βίον ξίφει.

κβ' «Μη(νὶ) τῷ αὐτῷ κβ'. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Εὐσεβίου ἐπισκόπ(ου) Σαμοσάτ(ων)».

Κέραμος Εὐσέβιε μάρτυς Κ(υρίο)υ,
εὐθὺς (δὲ) καὶ στέφανος ἐν τῇ σῇ κάρᾳ.
Εἰκάδι δευτερίῃ κεφαλὴν θλάσαν Εὐσεβίοιο.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως, ζηλωτ(ὴς) διάπυρος τῆς ὀρθοδόξου πίστεως [. . .]
Τελ.: [. . .] καὶ συγγνώμης ἠξίωσε τὸν ἴδιον δεσπότην, τὸν πρωτομάρτυρα μιμησάμενος Στέφανον. Τελεῖται (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου Ἰω(άνν)ου πλησίον Ἀρκαδιανῶν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμ(η) τ(ῶν) ἁγίων μαρτύρων Ζήνωνος καὶ Ζηνᾶ τοῦ οἰκέτου αὐτοῦ».

Δοῦλος σύναθλος τῷ συνάθλῳ δεσπότῃ,
ἄμφω (δὲ) δοῦλοι τοῦ Θ(εο)ῦ τετμημένοι.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐκ Φιλαδελφείας τ(ῆς) Ἀραβίας τῆς ἐν τῇ παλαιᾷ [. . .]
(φ. 129α) Τελ.: [. . .] ἐπεὶ παραδόξως ἀβλαβεῖς διέμειν(αν), ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Πομπιανός, ἐν τῇ θαλάσσῃ ῥιφείς, τελειοῦται».

Ὁ Πομπιανὸ(ς) ἐκτελεῖ πομπὴν ξένην,
ἐκ τ(ῆς) θαλάσσης πρὸς τὰ τοῦ πόλου πλάτη.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Γαλατίων, ἐν τῇ θαλάσσῃ ῥιφείς, τελειοῦται».

Ὕδωρ θαλάσσης ἁλμυρὸν Γαλατίων,
ὡς ἡδὺ μᾶλλον εἶχεν οἴεσθαι γάλα.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτ(υ)ρ(ες) Ἰουλιανὴ (καὶ) Σατορνῖνος, ὁ υἱὸς αὐτ(ῆς), πυρὶ τελειοῦνται».

Ἰουλιανὴν (καὶ) τὸ ταύτης παιδίον,
ἴουλον ἀνθοῦν ἄρτι φλὸξ καταφλέγει.

Τελεῖτ(αι) (δὲ) ἡ αὐτ(ῶν) σύναξις ἐν τῷ μαρτυρίῳ αὐτῶν, τῷ ὄντι πλησίον τῆς ἁγίας Εὐφημίας ἐν τῷ Πετρίῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Τερέντιος ἐπίσκοπος Ἰκονίου, ἀκάνθαις κατακεντηθείς, τελειοῦται».

Γῆς Τερέντιος τ(ὴν) ἀρὰν γενναιόφρων,
τέλους ἀφορμὴν εὗρεν εὐλογημένην.

κγ´ (φ. 129β) «Μη(νὶ) τῷ αὐτῷ κγ´. || Μνήμη τῆς ἁγί(ας) (καὶ) καλλινίκου μάρτ(υ)ρο(ς) Ἀγριππίν(ης)».

Πλησθεῖσα δεινῶν τραυμάτων ἐκ τυμμάτων,
πολλῶν μετέσχε στεμμ(ά)τ(ων) Ἀγριππῖν(α).
Εἰκάδι θεινομένη τριτάτῃ θάνεν Ἀγριππῖνα.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἥτις ἐξ ἁπαλῶν ὀνύχων τῷ Θ(ε)ῷ ἑαυτὴν δίδωσι, γέννημα καὶ θρέμμα τῆς περιδόξου πόλεως ὑπάρχουσα [...]

Τελ.: [...] λεπροὶ καθαίρονται προσερχόμ(εν)οι πίστει· (καὶ) λοιπὴ πᾶσα νόσος τῇ ταύτης πρεσβείᾳ δραπετεύει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μάρτ(υ)ρο(ς) Εὐστοχίου πρεσβυτέρου (καὶ) τῶν σὺν αὐτ(ῷ)· Γαΐου τοῦ ἀνεψιοῦ αὐτοῦ· (καὶ) τῶν τέκνων αὐτοῦ· Λωλλίας· Πρόβης (καὶ) Οὐρβανοῦ».

Ἔνθους ὑπάρχων Εὐστόχιε πρὸ(ς) ξίφο(ς),
οἶμαι στοχάζῃ ποῖον ἔσται σοι στέφος.

Θείοις Γάϊος θυρεοῖς πεφραγμένος,
ψυχὴν ἄτμητος τῷ ξίφει τμηθεὶς μένει.

Χ(ριστ)ῷ προσῆλθες, Λωλλία, διὰ ξίφους,
φύκει βαφεῖσα νυμφικῶς σῶν αἱμάτων.

Ἐξ αὐχένος χέουσα κρουνοὺς αἱμάτων,
χαίρουσά μοι πρόβαινε πρὸς Θ(εὸ)ν Πρόβη.

Τμηθεὶς τράχηλον, μάρτυς Οὐρβανὲ ξίφει,
ἀφυπτιάζεις ὡς σπαραχθὲν ἀρνίον.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

"Αρχ.: Οὗτος ὁ ἐν ἁγίοις Εὐστόχιος καὶ Γάϊος ὁ ἀνεψιὸς αὐτοῦ· (καὶ) τὰ τέκνα αὐτοῦ Λωλλία (καὶ) Πρόβη (καὶ) Οὐρβανός, ὑπῆρχον [. . .]
(φ. 130α) Τελ.: [. . .] ἀλλὰ μεγαλοφώνως ἀνακαλούμενοι τὸν Χ(ριστό)ν, τὰς κεφαλὰς ἀποτέμνονται.

κδ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κδ'. Ἡ γέννησις τοῦ ἁγίου ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰω(άνν)ου».

Ζαχαρία χόρευε σὺν τῇ συζύγῳ,
οὐ πολλὰ μὲν τεκόντες, ἓν δὲ (καὶ) μέγα.
Πρόδρομον ἀμφὶ τετάρτην εἰκάδα γείνατο μ(ήτ)ηρ.

Ἀκολουθεῖ σύντομον σχετικὸν συναξάριον.

"Αρχ.: Ὃς ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας μαρτυρεῖται ὑπὸ Χ(ριστο)ῦ· (καὶ) προφήτου περισσότερος [. . .]
(φ. 130β) Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρίῳ τῷ ὄντι ἐν τοῖς Φορακίου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μάρτ(υ)ρ(ο)ς Ὀρεντίου (καὶ) τῶν ἓξ γνησίων ἀδε(λφῶν) αὐτοῦ· ὧν τὰ ὀνόματα, Φαρνάκιος· Ἔρως· Φίρμος· Φιρμῖνος· Κυριακὸς (καὶ) Λογγῖνος».

Ἐκδὺς θαλάσσης ζῶν Ὀρέντιος βάθους,
ἐν γῇ τελευτᾷ (καὶ) πρὸς οὐ(ρα)νὸν τρέχει.

Ἄρας ὁ Φαρνάκιος ἐκ γῆς πηλίνης,
ἀνῆλθεν εἰς ἔδαφος οἴκου Κ(υρίο)υ.

Ἐρῶν ὑπῆρχεν οὐ(ρα)νῶν κάλλους Ἔρως,
πρὸς οὓς μεταστάς, ὥσπερ ἤρα, χαιρέτω.

Θρόνοι νοητοὶ Φιρμῖνός τε (καὶ) Φίρμος,
οἷς ἐγκάθηται βασιλεὺς τῶν ἀγγέλων.

Κυριακόν, Λογγῖνον ὡς ἰσαγγέλους,
Θ(εὸ)ς τίθησιν ὁμοτίμους ἀγγέλοις.

Ἀκολουθεῖ (φφ. 130β - 131α) συναξάριον τῶν μαρτύρων.

"Αρχ.: Οὗτοι οἱ ἅγιοι ἑπτὰ ἀδελφοί, ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων· ὁρμώμενοι μὲν τῶν ἀφ' ἡλίου ἀνατολῶν [. . .]
(φ. 131α) Τελ.: [. . .] μεθ' ἡμέρ(ας) τέσσαρας ἐκεῖσε τοῦ πλοίου καθορμισθέντος.

κε' (φ. 131β) «Μη(νὶ) τῷ αὐτῷ, κε'. Μνήμ(η) τ(ῆς) ἁγί(ας) ὁσιομάρτ(υ)ρο(ς) Φεβρωνίας».

Προὶξ τῇ γυναικῶν καλλονῇ Φεβρωνίᾳ·
τομὴ κεφαλῆς ὡς καλή σοι προίξ, γύναι.
Δῶκε Φεβρωνίη αὐχένα ξίφει εἰκάδ(ι) πέμπτῃ.

Ἀκολουθεῖ (φφ. 131β - 132β) συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἐκ νεαρᾶς ἡλικίας τὸν χρηστὸν τοῦ Κ(υρίο)υ ζυγὸν ἀραμένη καὶ ὁσίως βιοῦσα [. . .]
(φ. 132β) Τελ.: [. . .] τελεῖται (δὲ) ἡ αὐτῆς σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου προφήτου Προδρόμου [. . .] τῷ ὄντι ἐν τῇ Ὀξείᾳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων ὁσιομαρτύρων· Λεωνίδος· Λιβύης (καὶ) Εὐτροπίας· τῆς μὲν διὰ πυρός, τῶν (δε) διὰ ξίφ(ους) τελειωθέντων [sic]».

Πηδᾷ Λεωνὶς εἰς τὸ πῦρ τῆς καμίνου,
ὡς εἰς τροφ(ὴν) λέαινα πεινῶσα[1] σφόδρα.

Κομμωτικόν τι βάμμα νύμφη Κ(υρίο)υ,
βάπτη, Λιβύη, δοῦσα τὴν δέρριν ξίφει.

Ὁ κόσμον αὐχῶν νοσσιᾶς συσχεῖν δίκην,
ὑπ' Εὐτροπίας παίζεται τετμημένης.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Σίμων ἐν εἰρήνῃ τελειοῦται».

Σορὸς Σίμωνι σαρκός ἐστιν ἑστία,
πόλος δὲ τούτῳ πν(εύματο)ς κατοικία.

«Τῇ αὐτῇ ἡμέρᾳ τελεῖται ἡ ἀνάμνησις τῆς ὑπὲρ λόγον (καὶ) πᾶσ(αν) ἐλπίδα δωρηθείσης ἡμῖν βοηθεί(ας) παρὰ τοῦ μεγάλου Θ(εο)ῦ καὶ σ(ωτῆ)ρ(ο)ς ἡμ(ῶν) Ἰ(ησο)ῦ Χ(ριστο)ῦ· διὰ πρεσβειῶν τ(ῆς) αὐτ(ὸν) τεκούσης ἀσπόρως παναχράντου δεσποίνης ἡμῶν Θ(εοτό)κου καὶ ἀειπαρθένου Μαρίας· κατά τε τῶν διά τε γῆς καὶ θαλάσσης κυκλωσάντων τὴν καθ' ἡμᾶς βασιλίδα τῶν πόλεων, ἀθέων Σαρακηνῶν».

κς' «Μη(νὶ) τῷ αὐτ(ῷ) κς'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Δα(βὶ)δ τοῦ ἐν Θεσσαλονίκῃ».

Δα(βὶ)δ συνήφθης τῷ πάλαι, Δα(βὶ)δ νέε,
ἄλλον Γολιὰθ σαρκικὰ κτείν(ας) πάθη·
Ἕκτη ἐξεπήρησε πύλας βίου εἰκάδι Δα(βί)δ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος ἐξ ἑῴας ἔχων τὴν γέννησιν, ὡς ἀστὴρ πολύφωτος τὴν ἑσπέραν κατηύγασεν [. . .]
Τελ.: [. . .] καὶ τοῖς θαύμασι καταπλήξ(ας), πρὸς Κ(ύριο)ν ὃν ἐκ βρέφους ἐπόθησε μετετάξατο.

(φ. 133α) «Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀποστόλ(ου) Ῥούφου, ἑνὸς τῶν ἑβδομήκοντα».

Ἐξῆλθεν εἰς γῆν πᾶσαν ὁ φθόγγος Ῥούφου,
τοῦ γῆν λιπόντος καὶ κατοικοῦντος πόλον.

1. πηδῶσα cod.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Οὗτος ὁ θεῖος Ῥοῦφος οὗ καὶ ὁ μέγας ἀπόστολος μέμνηται [...]
Τελ.: [...] καὶ σημεῖα οὐκ ὀλίγα ποιήσας, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου ἀποστόλου Τίμωνος, ἑνὸς τ(ῶν) ο´»·
Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ἀπόστολος Τίμων, διηκόνει καὶ αὐτὸς σὺν ἅμα τῷ πρωτάθλῳ Στεφάνῳ καὶ ἀρχιδιακόνῳ [...]
Τελ.: [...] διὰ πυρὸς τελευταῖον πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγ(ίου) ἀποστόλ(ου) Ἐπαινετοῦ».
Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Καὶ οὗτος ὁ ἀπόστολος, εἷς ἦν τῶν ἑβδομήκοντα· (καὶ) ἐπίσκοπ(ος) γέγονεν ἐν Καρθαγένῃ [...]
Τελ.: [...] πρὸς θεογνωσίαν μεταβαλών, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἰω(άν)ν(ης), ἐπίσκοπος Γοτθίας, ἐν εἰρήνῃ τελειοῦται».

Τῇ σαρκὶ τὸν νοῦν δοὺς ἐπιστάτην πάτερ,
ἀρνῇ τὰ σαρκὸς ἀλλὰ καὶ ταύτην τέλος.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἀνθίων ἐν εἰρήνῃ τελειοῦται».

Δένδρον τι θεῖον καλλίφυτον Ἀνθίων,
φυλλορροεῖ δὲ τῇ ῥύσει τοῦ σαρκίου.

κζ´ «Μηνὶ τῷ αὐτ(ῷ) κζ´. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Σαμψὼν τοῦ Ξενοδόχου».

Ἐξῆγεν ὁ πρὶν ἐκ γνάθου Σαμψὼν ὕδωρ,
ὁ νῦν δὲ Σαμψὼν ἐκ τάφου βλύζει μύρον.
Εἰκάδι ἑβδομάτῃ Σαμψὼν θάνε (καὶ) μύρα βλύζει.

Ἀκολουθεῖ (φ. 133α-β) σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὑπῆρχε Ῥωμαῖος τῷ γένει καὶ συγγενὴς τοῦ μεγάλου ἐν βασιλεῦσι Κωνσταντίνου [...]
(φ. 133β) Τελ.: [...] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι (καὶ) συσταθέντι ξενῶνι.

«Τῇ αὐτῇ ἡμέρᾳ διήγησις ὠφέλιμος Συνεσίου ἐπισκόπου περὶ Εὐαγρίου τινὸς φιλοσόφου (καὶ) χρυσίου λιτρῶν τριακοσίων» (BHG 1322r).

Ἀρχ.: Ἐν Ἀλεξανδρείᾳ, ἐπὶ τῶν ἡμερῶν Θεοφίλου ἀρχιεπισκόπου Ἀλεξανδρέων, Συνέσιός τις ἐπίσκοπος Κυπρίνης [γρ. Κυρήνης] φιλόξενος (καὶ) φιλόθεος, Εὐάγριόν τινα τοὔνομα [...]
(φ. 134β) Τελ.: [...] τὴν (δὲ) μετὰ θάνατον τοῦ Εὐαγρίου τούτου γραφήν, νεαρὰν (καὶ) ἰδιόγραφον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία μυροφόρος Ἰωάννα ἐν εἰρήν(ῃ) τελειοῦται».

Οὗπερ παρέστης Ἰωάννα τῷ τάφῳ,
τούτου παρέστης ἔσχατον (καὶ) τῷ θρόνῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσ(ιος) Λουκᾶς ὁ ἐρημίτης ἐν εἰρήνῃ τελειοῦται».

Παρῆλθε Λουκᾶς, ἀλλ' ἐμοὶ τοῦτον λόγοι
καὶ τοῖς ἐφεξῆς σαλπίσουσιν ἐν βίῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτ(υ)ρ(ες) Μάρκιος (καὶ) Μαρκία ξίφει τελειοῦνται».

Ἥνωντο κλήσει Μάρκιος (καὶ) Μαρκία,
οὓς καὶ τομὴ συνῆψεν ἡ διὰ ξίφους.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Πιέριος, πρεσβύτερος Ἀντιοχείας, ἐν εἰρήν(ῃ) τελειοῦται».

Ὡς ἱερεῖον τὸν Πιέριον λόγε,
ἐνήγαγόν[1] σοι δυσσεβεῖς ἐπ' ἀνθράκων.

κη' «Μη(νὶ) τῷ αὐτ(ῷ) κη'. Ἡ εὕρεσις τῶν λειψάνων τῶν ἁγίων μαρτύρων Κύρου (καὶ) Ἰωάννου».

Ὀστᾶ φανέντων μαρτύρων Ἀναργύρων
βλύζουσι κρουνοὺς θαυμάτων ἀναργύρως.
Εἰκάδι ὀγδοάτῃ Κῦρος φάνη ἠδ' ὁμόαθλος.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι μάρτυρες (καὶ) θαυματουργοί, ἰατροὶ ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως [. . .]
(φ. 135α) Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ τούτ(ων) σύναξις ἐν τοῖς Φορακίου (καὶ) εἰς Ἀρκαδιανάς.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ δικαίου (καὶ) μακαρίου Σεργίου μαγίστρου, τοῦ συστησαμ(έν)ου τ(ὴν) μον(ὴν) τῆς ὑπεραγίας Θ(εοτό)κου τὴν ἐν τῷ κόλπῳ Νικομηδείας· (καὶ) οὕτω π(ως) ἐπιλεγομένην τοῦ Νικητιάτου».

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἦν ἐκ τῆς Παφλαγόνων χώρας, ἀπὸ χωρίου λεγομένου Νικήτια [. . .]
Τελ.: [. . .] μεταξὺ τῶν δύο ἐμπορίων, Καλοῦ Ἀγροῦ (καὶ) Δόρκωνος, κειμένη.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μ(ά)ρ(τυ)ς Μακεδόνιος, τοὺς δακτύλ(ους) τ(ῶν) χειρ(ῶν) (καὶ) τῶν ποδῶν ἐκκοπείς, τελειοῦται».

Μακεδονίου μάρτυρος τοὺς δακτύλους
τέμνουσιν ἀνδρῶν δάκτυλοι μιαιφόνων.

1. ἐνήγαγόν: ἐνήγησάν cod.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Οὐλκιανὸ(ς) ἐν εἰρήν(ῃ) τελειοῦτ(αι)».

Εἴσελθε χαίρων Οὐλκιανὲ παμμάκαρ,
τὴν οὐ(ρα)νῶν ἤνοιξε Χ(ριστό)ς σοι πύλην.

(φ. 135β) «Τῇ αὐτῇ ἡμέρᾳ Παῦλος ὁ ἰατρὸς ἐν εἰρήνῃ τελειοῦται».

Ἔπαυε Παῦλος πρὶν τομάς, καύσεις, χρίσεις,
τανῦν (δὲ) παύει πάντα πρεσβείᾳ πάθη.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι δύο παῖδες σταυρωθέντες τελειοῦνται».

Ἐν τοῖς χρόνου πίναξι (καὶ) παῖδ(ας) δύο,
σταυρουμένους γράφουσι παῖδες ζωγράφων.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Μωυσῆς ὁ ἀναχωρητὴς ἐν εἰρήνῃ τελειοῦται».

Τῶν ἀρετῶν ἀνῆλθε Μωσῆς εἰς ὄρος,
κἀκεῖ τέθνηκ(εν) ὡς ὁ Μωσῆς εἰς ὄρος.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Δονάτος, ἐπίσκοπος Λιβύης, πυρὶ τελειοῦτ(αι)».

Στέρξον τὸ πῦρ Δονάτε· τῆς γὰρ σῆς κάρας,
ὡς φησὶ Χ(ριστό)ς, οὐκ ὀλεῖται θρὶξ ὅλως.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ἑβδομήκοντα μάρτυρες οἱ ἐν Σκυθοπόλει ξίφει τελειοῦνται».

Ἔχεις μαθητὰς ἑπτάκις σ(ῶτ)ερ δέκα,
ἔχεις ἀθλητὰς καὶ τοσούτους ἐκ ξίφους.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι τρ(εῖς) μάρτυρες οἱ ἐκ Γαλατίας ξίφει τελειοῦνται».

Τρεῖς ἄνδρες ἡμεῖς· ἀλλὰ συμπνοίας λόγῳ,
ὡς εἷς, ἰδοὺ χωροῦμ(εν) οἱ τρεῖς πρὸς ξίφος.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Μάγνος προσευχόμενος τελειοῦται».

Ἐν τῇ προσευχῇ θεῖος ἐκπνεύσας Μάγνος,
ὑπῆρξε δῆλος λῆξιν αἰτήσας βίου.

κθ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κθ'. Μνήμη τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου (καὶ) Παύλου».

Στ(αύ)ρωσις εἷλε κήρυκα στ(αυ)ροῦ Πέτρον,
τομὴ δὲ Παῦλον, τὸν τεμόντα τὴν πλάνην.
Τλῆ ἐνάτῃ στ(αυ)ρὸν Πέτρος εἰκάδι· ἄορ ὁ Παῦλος.

Ἀκολουθεῖ (φφ. 135β - 136β) συναξάριον τῶν ἀποστόλων.

Ἀρχ.: Τούτοις, τίνα ἐγκωμίων ὑπόθεσιν μείζονα ἄν τις ἐπινοήσειε, παρὰ τὴν τοῦ Κ(υρίο)υ μαρτυρίαν [. . .]
(φ. 136β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις· καὶ ἐν τῷ Ὀρφανοτροφείῳ [. . .] καὶ ἐν πάσαις ταῖς κατὰ τόπον ἐκκλησίαις.

λ' «Μη(νὶ) τῷ αὐτῷ λ'. Ἡ σύναξις τῶν ἁγί(ων) ἐνδόξων μεγάλων δώδεκα ἀποστόλων».

Τιμῶ θεόπτας δώδεκα Χ(ριστο)ῦ φίλους,
ἥρωας ἄνδρας καὶ θεοὺς τολμῶ λέγειν.
Δώδεκα εὐκλεέας τριακοστὴ ἀγείρει μύστας.

Ἀκολουθεῖ (φ. 136β) συναξάριον τῶν ἀποστόλων. Κολοβὸν (διότι μετὰ τὸ φύλλον 136 ἔχει ἐκπέσει ἓν πλῆρες ὀκτάφυλλον τετράδιον).

Ἀρχ.: Ὁ μακαριώτατος Δα(βὶ)δ ὑπὸ τοῦ ἁγίου πν(εύματο)ς ἐνηχούμενος, τρανῶς τὴν ἁγίαν τριάδα ἑνικῶς βασιλεύουσαν ἐδογμάτισε [...]
Τελ.: [...] ἔχειν τὴν ἔκβασιν παντί που δῆλον· ἀλλ' ἐπεὶ δι' ἄπειρον οἶκτον ἐκένωσ(εν) ἑαυτὸν

Ε' [Μ ὴ ν Ἰ ο ύ λ ι ο ς· ἔχει ἡμέρας λα' ....]

α' [Μηνὶ τῷ αὐτῷ δ' ... Μνήμη τοῦ ἁγίου μάρτυρος Θεοδώρου ἐπισκόπου Κυρήνης καὶ τῶν ἁγίων μαρτύρων Λουκίας, Ἀρόας καὶ Κυπρίλλης.]
(φ. 137α) Ἀκολουθεῖ ἀκέφαλον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: [ἀρ]νήσασθαι τὸν Χ(ριστό)ν, ῥάβδοις καὶ μολυβδίσιν ἐτύφη σφοδρ(ῶς)· εἶτα τὸν βωμὸν λακτίσας καὶ ἀναστρέψας [...]
(φ. 137β) Τελ.: [...] (καὶ) ἀπὸ μ(ὲν) τῶν πληγῶν αἷμα· ἀπὸ δὲ τῶν μαστῶν γάλα ἔρρεε. καὶ οὕτω παρέδωκε τὸ πν(εῦμ)α αὐτῆς τῷ Κ(υρί)ῳ.

«Στίχ(οι) εἰς τὰς ἁγίας· Κυπρίλλαν· Λουκίαν (καὶ) Ἀρόαν».

Τονοῖ Κυπρίλλαν πρὸ(ς) πάλ(ην) τὴν πρὸ(ς) ξέσεις,
ὁ συμπαλαίσας Ἰακὼβ Θ(εὸ)ς πάλαι.

Ἔδειξαν ἡμῖν Λουκία (καὶ) Ἀρόα,
ὡς καὶ κόραι σθένουσι καρτερεῖν ξίφος.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Ἀσκληπιὰς ἡ θαυματουργὸς ἐν εἰρήν(ῃ) τε(λειοῦται)».

Ἀσκληπιὰς ἄμισθος ἀσκληπιάδης,
παύουσα προῖκα καὶ τετμημένη νόσους.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος ἱερομ(ά)ρ(τυς) Θεόφιλος ξίφει τελειοῦτ(αι)».

Θεόφιλος ἐξαφαιρεῖτ(αι) κάραν,
Θ(εὸ)ν φιλήσας καὶ πλέον ζωῆς φίλης.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Μένιγνος ἐν εἰρήν(ῃ) τελειοῦτ(αι)».

Μένιγνος ἐκπλεῖ τὸν θαλαττώδ(η) βίον,
εὑρὼν ἀρίστους τοὺς νόας κωπηλάτας.

β' «Μη(νὶ) τῷ αὐτῷ ε'. Μνήμη τοῦ ἁγίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Λαμπαδοῦ».

Ἄρδων ἐλαίῳ Λαμπαδὸς τὴν λαμπάδα,
ἕτοιμος ἐγγίσαντος ἦν τοῦ νυμφίου.
Λαμπαδὸς ἐν πέμπτῃ μελιηδέα θυμὸν ἀφῆκε.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Ὃς ἐξ αὐτῶν τῶν σπαργάνων ἀσκητικαῖς ἀγωγαῖς ἑαυτὸν ἐπιδοὺς [. . .]
Τελ.: [. . .] καὶ μαρτυρεῖ τὸ σπήλαιον ἔνθα κατάκειται τὸ τίμιον αὐτ(οῦ) καὶ ἅγιον λείψανον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς ἁγί(ας) μάρτυρος Λουκί(ας) τῆς παρθένου· (καὶ) Ῥήξου βικαρίου· (καὶ) ἑτέρων πλείστων ἐν Καμπανίᾳ μαρτυρησάντων».

Ἰδοῦσα Ῥήξου τὴν τομὴν ἡ Λουκία,
οὐ πρὸς τομὴν ἔρρηξε φωνὴν δειλίας.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Αὕτη ἡ Λουκία, ἑτέρα ἐστὶ παρὰ τὴν ἐν Σικελίᾳ· κατασχεθεῖσα δὲ παρὰ Ῥήξου βικαρίου [. . .]
(φ. 138α) Τελ.: [. . .] καὶ τοῦτον ἀληθινὸν Θ(εὸ)ν ὁμολογήσαντες, ἀπετμήθησ(αν) τὰς κεφαλάς· σὺν αὐτοῖς δὲ καὶ ἕτεροι· Ἀντώνιος· Λυκίας· [. . .] Πάπικος· Σάτυρος· Βίκτωρ καὶ ἕτεροι ἐννέα.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη θαύματος γενομ(έν)ου παρὰ τοῦ ἁγίου ἱερομάρτ(υ)ρο(ς) Φωκᾶ τοῦ θαυματουργοῦ».

Ἀκολουθεῖ σύντομος διήγησις τοῦ θαύματος.

Ἀρχ.: Λέων ὁ Ποντιανὸς ἐξηγήσατο· ὅτι Περσισινάκιος ὁ στιβαρός, παραληφθεὶς ὑπὸ τῶν Σαρακηνῶν [. . .]
Τελ.: [. . .] ἣν ἀεὶ ἐπιτελ(ῶν) τὴν μνήμην τοῦ ἁγίου μάρτυρος Φωκᾶ εὐχαριστῶν τῷ Θ(ε)ῷ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀθανασίου τοῦ ἐν τῷ Ἁγίῳ Ὄρει ἀσκήσαντος, βουνῷ Ἄθωνι ὀνομαζομένῳ· καὶ τῶν ἐξ αὐτ(οῦ) μαθητ(ῶν)· τοῦ ναοῦ ἐπιπεσόντος αὐτοῖς».

Ἀθανασίῳ καὶ μαθητῶν ἑξάδι,
ναοὶ λύονται σωμάτων ναοῦ λύσει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία μ(ά)ρ(τυς) Ἁγνὴ ἡ παρθένος πυρὶ τελειοῦται».

Ὑπὲρ νέον σοι μόσχον ὡς Δα(βὶ)δ λέγει,
ἤρευγεν Ἁγνὴ πυρπολουμένη λόγε.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία Μάρθα, ἡ μήτηρ τοῦ ἁγίου Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει, ἐν εἰρήν(ῃ) τελειοῦτ(αι)».

Κἂν οὐ μεριμνᾷς οὐδὲ τυρβάζῃ Μάρθα,
ἔχεις τὰ λοιπὰ (καὶ) τελευτὴν τ(ῆς) Μάρθας.

γ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ς'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Σισώη τοῦ μεγάλου».

Θ(εο)ῦ τεθνηκ(ὼς) πυξίῳ προσεγράφη,
θείου Σισώης πν(εύματο)ς τὸ πυξίον.
Κεῖτο μέγας μεγαλωστὶ θανὼν Σισώης κατὰ ἕκτην.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος ἐκ βρέφους τὸν Θ(εὸ)ν ἀγαπήσας (καὶ) τὸν τοῦ Κ(υρίο)υ στ(αυ)ρὸν ἀράμενος [. . .]

(φ. 138β) Τελ.: [. . .] ὅπου τ(ῶν) ἁγίων αἱ σκηναὶ (καὶ) ἡ ἀΐδιος λαμπρότης, Χ(ριστὸ)ν ὑπὲρ ἡμ(ῶν) ἱλεούμενος.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀστείου ἐπισκόπου Δυρραχίου».

Ἀστεῖος ἀρθεὶς εὗρεν ἀστεῖον τέλος,
ὤφθη μελίσσαις βρῶσις ἐγχρισθεὶς μέλι.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως (καὶ) Ἀγρικολάου ἡγεμόνος [. . .]
Τελ.: [. . .] ὑπὸ σφηκ(ῶν) καὶ μυιῶν ἐνοχλούμ(εν)ο(ς) καὶ κεντούμ(εν)ο(ς), ἀπέδωκε τὴν ψυχήν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μ(άρτυ)ρος Ἰσαύρου καὶ τῶν σὺν αὐτῷ· Βασιλείου· Ἰννοκεντίου· Φίληκος· Ἑρμείου καὶ Περεγρίνου».

Τμηθεὶς Ἴσαυρος σὺν συνάθλῳ πεντάδι,
σαύρας νοητῆς καρδίαν τέμνει μέσον.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ ἅγιος Ἴσαυρος, ὁ τῶν τοῦ Χ(ριστο)ῦ μυστηρί(ων) διάκονος, καὶ οἱ σὺν αὐτῷ γεγέννηνται ἐν Ἀθήναις κατὰ τοὺς καιροὺς Νουμεριανοῦ [. . .]
(φ. 139α) Τελ.: [. . .] ἐπὶ πολὺ προσευξάμενοι, κλίναντες τὰς κεφαλὰς παρέδωκ(αν) τὰς ψυχ(ὰς) αὐτῶν τῷ Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγί(ων) μαρτύρ(ων)· Περεγρίνου· Λουκιανοῦ· Πομπηΐου· Ἡσυχίου· Παπίου· Σατορνίνου (καὶ) Γερμανοῦ».

Σὺν ἓξ κατῆλθεν εἰς βυθὸν Περεγρῖνος,
ἀθλήσεως ἐκεῖθ(εν) ἀγρεύσων τέλος.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐξ Ἰταλίας· κατὰ δὲ τοὺς καιρ(οὺς) Τραϊανοῦ διὰ τὸν ἐπικείμενον διωγμὸν [. . .]
Τελ.: [. . .] ὃς καὶ ἀνελόμενος αὐτά, θάπτει ἐντίμως ποιήσας (καὶ) αὐτοῖς εὐκτήριον οἶκον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῶν ἁγίων μαρτύρων, Φιλήμονος· Ἀρχίππου (καὶ) Ὀνησίμου· καὶ ὁ μὲν Φιλήμων στ(αυ)ρωθείς, ὁ δ' Ἄρχιππος ὑπὸ ἵππων συρόμ(εν)ο(ς), ὁ δὲ Ὀνήσιμος διὰ ξίφους τελειοῦται· τελεῖτ(αι) (δὲ) ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτ(ῳ) αὐτ(ῶν) μαρτυρίῳ τῷ ὄντι πέραν ἐν τῇ Ἐλαίᾳ».

Σταυροῖ Χ(ριστὸ)ν φίλημα ψυχρὸν Φιλῆμον,
σταυροῖ (δὲ) καὶ σὲ φίλτρον αὐτοῦ τὸ ζέον.

Τὴν ἀρχικήν σοι τῶν φρενῶν ἐξουσίαν,
Ἄρχιππε δεῖξον πρὸς τὰ τ(ῶν) ἵππων θράση.

Ὄνησιν εὗρ(εν) Ὀνήσιμος ἐκ ξίφους,
λαβὼν τὸ λαμπρ(ὸν) τῆς ἀθλήσεως στέφος.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Βασιλείου (καὶ) τ(ῶν) σὺν αὐτῷ ἑβδομήκοντα μαρτύρων τ(ῶν) ἐν Σκυθοπόλ(ει)· καὶ τὰ ἐγκαίν(ια) τοῦ ⟨ναοῦ τοῦ (;)⟩ ἁγίου μάρτ(υ)ρ(ος) Στεφάνου, τοῦ εἰς τὸ Ῥήγιον τῆς Καλαυρί(ας) κειμένου (καὶ) τ(ῶν) σὺν αὐτῷ».

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἀπολλώνιος, ἐν πλοίῳ βληθεὶς (καὶ) τοῦ πλοίου ἐν τῇ θαλάσσῃ πυρποληθέντο(ς), τε(λειοῦται)».

Ἀπολλώνιος ἀμφιδεξίως ἔχει,
ἀθλεῖν πρὸς ἄμφω· (καὶ) θάλασσ(αν) καὶ φλόγα.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ἀλεξανδρίων, εἰς τροχ(ὸν) δεθεὶς (καὶ) εἰς κατωφερῆ τόπον ἀφεθείς, τελειοῦται».

Ἀλεξανδρί(ων) (καὶ) κατωφερ(ῶς) τρέχων,
(φ. 139β) ἀνωφερῶς ὑψοῦτο πρὸς Θ(εὸ)ν λόγον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἐπίμαχος ξίφει τελειοῦται».

Πλέον τι πάσχειν ἤθελον (καὶ) τοῦ ξίφους,
ἔφασκε πάσχων Ἐπίμαχος ἐκ ξίφους.

«Τελεῖτ(αι) (δὲ) ἡ αὐτ(ῶν) σύναξις εἰς τὸ Ἑξακιόνιον».

δʹ «Μη(νὶ) τῷ αὐτ(ῷ) ἑβδόμῃ. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) [. . .] Θωμᾶ τοῦ ἐν τῷ Μαλαιῷ».

Διεὶς πτέρυγας, εἶπ(εν) ἂν Μωσ(ῆς) π(άτ)ερ,
ὡς ἀετός τις ἐξανέπτης πρὸ(ς) πόλ(ον).

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος μὲν κατὰ τὸν πρότ(ε)ρ(ον) αὐτοῦ βίον ἐγένετο περιφαν(ὴς) καὶ περίβλεπτος πλούτῳ καὶ δυναστείᾳ [. . .]
Τελ.: [. . .] παντοί(ων) παθῶν (καὶ) νόσων ἐκλυτρούμενος· ἐκ τ(ῶν) βλυζόντων ναμάτων τῆς θείας λάρνακος.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγί(ας) μεγαλομάρτ(υ)ρο(ς) καὶ ἀθληφόρου Κυριακῆς».

Κυριακὴ θανοῦσα τὴν τομὴν φθάνει,
προαιρέσει πλήν· (καὶ) τελειοῦται ξίφει.
Ἑβδομάτῃ πρὸ τομῆς ξίφεος θάνε Κυριακή.

Ἀκολουθεῖ (φφ. 139β - 140β) συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ τοῦ βασιλέως Δωρόθεός τις χριστιανὸς σὺν Εὐσεβίᾳ τῇ γυναικὶ αὐτοῦ ἄτεκνοι ὄντες [. . .]
(φ. 140β) Τελ.: [. . .] τὰ μεγαλεῖα τοῦ Θ(εο)ῦ· οἱ δὲ ὑποστρέψαντες, ἐδίδαξαν τὸν Θ(εό)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος ἱερομάρτυς Εὐστάθιος πυρὶ τελειοῦται».

Πρὸς εὐστάθειαν καρδίας Εὐσταθίου,
καὶ πῦρ συρίζον· ἠρεμοῦν πάντως ὕδωρ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μ(ά)ρ(τυς) Πολύκαρπος μαχαίρ(ᾳ) τελειοῦτ(αι)».

Οὕτως ὄναιο σῶν, σφαγεῦ, θελημάτ(ων),
σφάττειν τάχει με τὸν Πολύκαρπον θέλε.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Εὐάγγελος ξίφει τελειοῦται».

Εὐάγγελος τὸ θεῖον ἐκ ξίφους τέλος
εὐαγγελισμ(ὸν) εἶχε τοῦ θείου στέφους.

«Τελεῖτ(αι) (δὲ) ἡ αὐτῶν σύναξις ἐν Σιβωνίᾳ».

ε′ «Μη(νὶ) τῷ αὐτ(ῷ) ὀγδόῃ. Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Προκοπίου».

Ἔοικε Προκόπιος αὐχένα κλίνων
λέγειν· κοπήτω· τῇ πλάνῃ γ(ὰρ) οὐ θύω.
Ὀγδοάτῃ Προκοπίου ἀρηιθόου κράτα κέρσαν.

Ἀκολουθεῖ (φφ. 140β - 141β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Ὁ μέγας καὶ περιβόητος ἐν μάρτυσι Προκόπιος ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως [...]
(φ. 141β) Τελ.: [...] καὶ τμηθεὶς τὸν αὐχένα, πρὸς Κ(ύριο)ν ἐξεδήμησε· τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρίῳ τῷ ὄντι πλη(σίον) τῆς Χελώνης· (καὶ) ἐν τῷ Κονδυλίῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Θεοδοσία, ἡ μ(ήτ)ηρ τοῦ ἁγίου Προκοπίου, ξίφει τελειοῦται».

Ἀθλητομήτωρ οὖσα Θεοδοσία,
ἔσπευσ(εν) εἶναι κἀκ ξίφους ἀθληφόρο(ς).

«Τῇ αὐτῇ ἡμέρᾳ αἱ ἅγιαι δώδεκα γυναῖκες αἱ συγκλητικαὶ ξίφει τε(λειοῦνται)».

Δὶς ἓξ ἀνεῖλεν εὐκλεεῖς κόρας ξίφος,
ἡγουμένας σκύβαλα τ(ῆς) γ(ῆς) τὰ κλέα.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι δύο τριβοῦνοι Ἀντίοχο(ς) (καὶ) Νικόστρατο(ς), ξίφει τελειοῦνται».

Ὁ Νικόστρατος, τὴν τομὴν οἴσω, λέγει,
ὡς Ἀντίοχος· μὴ γὰρ οὐ κἀμοὶ κάρα;

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτ(υς) Αὐδᾶς ξίφει τελειοῦτ(αι)».

Ἅπαξ ἐμαυτὸν πρὸς τὸ πάσχειν θαρσύνας,
χαρὰν τὸ πάσχ(ειν) ἐκ ξίφ(ους) Αὐδᾶς ἔχω.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγ(ίου) Προκοπίου τοῦ ἀφορκιστοῦ, τοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης».

ϛ′ «Μη(νὶ) τῷ αὐτ(ῷ) θ′. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρο(ς) Παγκρατίου ἐπισκόπου Ταυρομενίου».

Προθεὶς ἑαυτὸν Παγκράτιος ὡς βάθρον,
ἀθλήσ(εως) ἤγειρ(εν) οἶκον ἐκ λίθων.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ὑπῆρχεν ἐπὶ τῶν χρόνων τῶν ἁγίων ἀποστόλ(ων) [. . .]
(φ. 142α) Τελ.: [. . .] καὶ οὕτως εὕρατο τ(ῶν) πολλ(ῶν) πόν(ων) τὴν ἀντίδοσιν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγί(ων) ὁσιομαρτ(ύ)ρ(ων)· Πατερμουθίου· Κόπριδος (καὶ) Ἀλεξάνδρου».

Κοινωνὸς ὤφθ(ην) καὶ βίου σοι καὶ ξίφ(ους),
π(άτ)ερ Πατερμούθιε, κραυγάζει Κόπρις.
Κόπριν, Πατερμούθιον ἀμφ' ἐνάτην ξίφος ἔκτανε.

Ἀγῶνος Ἀλέξανδρε διπλοῦ λαμβάνεις,
ἀσκήσεως, τομῆς τε διπλᾶ καὶ στέφη.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόν(ους) Ἰουλιανοῦ τοῦ Παραβάτου· ἐν τῇ κατ' Αἴγυπτον ἐρήμῳ [. . .]
(φ. 142β) Τελ.: [. . .] καὶ ἐξελθόντες οἱ τρεῖς ἀβλαβεῖς, προστάξει τοῦ τυράννου τὰς κεφαλὰς ἀπετμήθησαν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγ(ίων) μαρτύρων Βιάνωρος καὶ Σιλουανοῦ».

Οὐκ ἠδυνήθη σὴν ἑλεῖν στερρὰν φύσιν,
μάρτυς Βιάνωρ, οὐδὲ τοῦ ξίφ(ους) βία.

Ὤφθη παταχθεὶς Σιλουανὸς τῷ ξίφει,
ἄλλος Σιλωὰμ ἐξιώμενος πάθη.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ ἅγιος μάρτυς τοῦ Χ(ριστο)ῦ Βιάνωρ ἐκ τῆς Πισιδῶνος ἐπαρχί(ας) ἦν· καὶ κρατηθεὶς ὑπὸ τοῦ ἄρχοντος [. . .]
Τελ.: [. . .] ὕστερον δὲ μετὰ τὸ πολλὰ διελεγχθῆναι μετὰ τοῦ ἡγεμόνος, ἀπετμήθη καὶ τὴν ἁγίαν αὐτοῦ κεφαλήν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτ(υ)ρ(ες) Ἀνδρέ(ας) καὶ Πρόβος πυρὶ τελειοῦντ(αι)».

Ἑστῶτες εἰς τὸ σκάμμα τοῦ πυρὸ(ς) λόγε,
αὔραις ἀνεψύχοντο σαῖς ἄνδρες δύο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῶν ἁγί(ων) ἐγκαινί(ων) τοῦ σεβασμίου ναοῦ τῆς ἀχράντου δεσποίνης ἡμῶν Θ(εοτό)κου τοῦ ὄντος ἐν τῇ Πηγῇ».

ζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ι'. Μνήμη τ(ῶν) ἁγί(ων) τεσσαράκοντα πέντε μαρτύρων τῶν ἐν Νικοπόλ(ει) τ(ῆς) Ἀρμενί(ας) μαρτυρησάντων».

Παρεμβολή τις εὑρέθη Θ(ε)ῷ νέα,
τόλμη παρεμβάλλουσα (καὶ) πυρὸς μέσον.
Κτεῖνεν ἐρισθενέ(ας) δεκάτῃ πῦρ Νικοπολίτ(ας).

᾿Ακολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

῎Αρχ.: Οὗτοι κ(α)τὰ τοὺς καιροὺς Λικινίου τοῦ βα(σιλέως) καὶ Λυσίου ἡγεμόνος ὡμολόγησαν τὸν Χ(ριστὸ)ν [. . .]
(φφ. 142β - 143α) Τελ.: [. . .] τέλος τοῦ δρόμου καὶ τῆς ἀθλήσεως ἔλαβον· τελεῖτ(αι) (δὲ) ἡ αὐτῶν σύναξις εἰς τ(ὴν) ἁγί(αν) || ᾿Ακυλῖναν πλησίον τοῦ Φόρου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ σύναξις τοῦ ἁγ(ίου) ἀποστόλου καὶ εὐαγγελιστοῦ ᾿Ιωάννου τοῦ Θεολόγου ἐν τοῖς Βεάτου».

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μάρτυρος ᾿Απολλωνίου».

᾿Απολλωνίῳ στ(αυ)ρ(ὸ)ς ἡ τιμωρία,
εἰπεῖν δ᾿ ἀληθῶς, στ(αυ)ρ(ὸ)ς ἡ σ(ωτη)ρία.

᾿Ακολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

῎Αρχ.: Οὗτος ἦν ἐκ τῆς πόλεως Σάρδεων τῆς ἐν Λυδίᾳ· (καὶ) προσαχθεὶς Περινίῳ τῷ ἄρχοντι [. . .]
Τελ.: [. . .] ἐν ξύλῳ στ(αυ)ροῦ ἀναρτηθείς, τῷ Θ(ε)ῷ τὸ πν(εῦμ)α παρέθετο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων μυρίων μαρτύρων τῶν ἐν τοῖς σπηλαίοις τοῖς ἐν τῇ σκήτῃ· οὓς θανάτῳ πικρῷ παρέδ(ω)κ(εν) ἐν πυρὶ καὶ καπνῷ Θεόφιλος ᾿Αλεξανδρεί(ας) ἐπίσκοπος· διὰ ᾿Ισίδωρον τὸν πρεσβύτερον».

῎Εκτεινεν εἰς σπήλαια πῦρ τ(οὺς) μυρίους,
σπήλαιον οἰκήσαντος οἰκέτας λόγου.

᾿Ακολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

῎Αρχ.: Οὗτοι οἱ ἅγιοι ἀσκηταὶ καὶ μάρτυρες τοῦ Χ(ριστο)ῦ, μοναχοὶ ὄντ(ες) [. . .]
Τελ.: [. . .] ἐνέπρησ(εν) ἅπαντας τοὺς ἐν σκήτῃ ἁγίους π(ατέ)ρας· καὶ θανάτῳ παρέπεμψεν.

η΄ «Μη(νὶ) τῷ αὐτ(ῷ) ια΄. Μνήμη τῆς ἁγί(ας) μεγαλομ(άρτυ)ρ(ο)ς καὶ καλλινίκου Εὐφημίας τῆς πανευφήμου [. . .]».

Δίκαζε μάρτυς τοῖς ὅροις καὶ κειμένη,
κυροῦσα πίστιν· ἧς ἐνήθλησας πόθῳ.
Θέσκελον ἑνδεκάτῃ ὅρον ἐμπεδοῖ Εὐφημίη.

᾿Ακολουθεῖ συναξάριον τῆς μάρτυρος.

(φ. 143α-β) ῎Αρχ.: ᾿Ιστέον μὲν ὅτι ἡ καλλίνικος μάρτυς ὑπῆρχε κατὰ τοὺς χρόνους || Διοκλητιανοῦ καὶ Πρίσκου ἀνθυπάτου Εὐρώπης [. . .]
Τελ.: [. . .] τελεῖτ(αι) δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρίῳ τῷ ὄντι ἐν τοῖς ᾿Αντιόχου, πλησίον τοῦ Λαύσου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μάρτυρος Κινδαίου πρεσβυτέρου».

Οὐκ ἄξιόν τι καύσεως ὅλως ἔχων,
σωθεὶς πυρὸς τέθνηκας οὕτω Κινδαῖε.

᾿Ακολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἀπὸ κώμης λεγομένης Ταλμηνίας, Σίδης τ(ῆς) Παμφυλί(ας) [. . .]
(φ. 144α) Τελ.: [. . .] κατέθετο τὰ ἅγια λείψανα διὰ χειρῶν ἱερέων, καθὼς τύπος ἐστὶ τοὺς ἁγίους κατατίθεσθαι.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Λέων ὁ ἐν τῇ Μάνδρᾳ ἐν εἰρήν(ῃ) τελειοῦτ(αι)».

Ἐκ γῆς ἀπελθὼν ἐντρυφᾷ τερπνοῖς Λέων,
ὧν εἶχεν ἐν γῇ τὰς ἀπορροίας πάλαι.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγ(ιος) μάρτ(υς) Μαρκιανὸς μαχαίρᾳ τελειοῦτ(αι)».

Ὑπῆρξε θήκη Μαρκιανὲ σὸς φάρυγξ,
χωροῦσα τὴν μάχαιραν ἣν κατεκρίθης.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Μαρτυροκλῆς τοξευθεὶς τελειοῦτ(αι)».

Μαρτυροκλῆς μαρτύρων εὗρε κλέος,
μάρτυς φανεὶς ἄριστος ἐκ τοξευμάτων.

θʹ «Μη(νὶ) τῷ αὐτ(ῷ) ιβʹ. Μνήμη τ(ῶν) ἁγί(ων) μαρτύρων Πρόκλου καὶ Ἱλαρίου».

Καὶ γυμνὸς ὢν ἤνεγκεν ὁ Πρόκλος βέλη,
ἔνδον γὰρ εἶχε τὸν Θ(εὸ)ν πανοπλίαν.

Ἱλάριος πάντιμον ἐκτμηθεὶς κάραν,
ἀθλήσεως πάντιμον ἤρατο στέφος.

Δωδεκάτῃ πέσε Πρόκλος ὀϊστευθεὶς βέλεσιν.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Τραϊανοῦ βασιλέως καὶ Μαξίμου ἡγεμόνος· ἐκ τῆς χώρας Καλίππων, πλησίον Ἀγκύρας [. . .]
(φ. 144β) Τελ. [. . .] τελεῖτ(αι) δὲ ἡ αὐτ(ῶν) σύναξις ἐν τῇ μονῇ τῆς Ὑπατί(ας), πλησίον τῶν Ματρώνης.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγί(ας) μάρτυρος Γολινδοὺχ τῆς ἐκ Περσίδος, μετονομασθείσης Μαρίας».

Σκηνοῖς Γολινδούχ, εἰς Ἐδέμ, σκηναὶ δέ σοι,
τὸ τοῦ Βαλαὰμ ὡς σκιάζουσαι νάπαι.

Ἀκολουθεῖ (φφ. 144β - 145α) συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐκ Περσίδος, συνοικήσασα ἀνδρὶ ἀρχιμάγῳ· ἐπὶ βασιλέ(ως) Περσῶν μ(ὲν) Χοσρόου, Ῥωμαί(ων) δὲ Μαυρικίου [. . .]
(φ. 145α) Τελ.: [. . .] τελεῖτ(αι) δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Τρύφωνος· τῷ ὄντι πλησίον τῆς ἁγί(ας) Εἰρήνης τῆς ἀρχαί(ας) καὶ νέας.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς ἁγίας Βερονίκης τ(ῆς) αἱμόρρου, τῆς ἰαθείσης παρὰ τοῦ Κ(υρίο)υ ἡμ(ῶν) Ἰ(ησο)ῦ Χ(ριστο)ῦ».

Ὅλου νοητῶς δράττεταί σου νῦν λόγε,
ἡ κρασπέδου σου πρὶν μόνου δραξαμένη.

'Ακολουθεῖ σύντομον συναξάριον τῆς ἁγίας.

"Αρχ.: Αὕτη ὥρμητο ἐκ πόλεως Περσίδος· ἥτις καὶ παρὰ τοῦ Χ(ριστο)ῦ ἰαθεῖσα [. . .]
Τελ.: [. . .] ἐν εἰρήνῃ πρὸς Κ(ύριο)ν ἀνεπαύσατο.

ι' «Μη(νὶ) τῷ αὐτῷ ιγ'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Στεφάνου τοῦ Σαββαΐτου· καὶ τοῦ ἁγίου μάρτυρος Σεραπίωνος».

Πιόν τι Χ(ριστ)ῷ θῦμα καὶ Σεραπίων,
(φ. 145β) Χ(ριστο)ῦ παρ' ἐχθρῶν εἰς τὸ πῦρ βεβλημένος.

Καὶ σκῶλα καὶ θήρατρα καὶ πάγας βίου,
φυγὼν Στέφανος εἰς 'Εδὲμ λόχμας[1] ἔδυ.
'Αμφὶ τρίτ(ην) δεκάτην Στεφάνου μόρος ἠπιοθύμου.

'Ακολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος Σεραπίωνος.

"Αρχ.: Οὗτος ὁ ἅγιος Σεραπίων ἦν ἐν τοῖς χρόνοις Σεβήρου τοῦ βασιλέως [. . .]
Τελ.: [. . .] ὅθεν πυρὶ παραδοθείς, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία μάρτ(υς) Μυρώπη ἐν φυλακῇ κλεισθεῖσα τελειοῦτ(αι)».

Χ(ριστο)ῦ Μυρώπη παμβασιλέως πόθῳ,
ᾤκησεν εἱρκτὴν ὡς βασιλέως δόμον.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμ(η) τοῦ ἁγίου ἀποστόλου 'Ακύλα».

'Ακολουθεῖ σύντομον συναξάριον τοῦ ἀποστόλου.

"Αρχ.: Οὗτος ὁ ἅγιος ἀπόστολος 'Ακύλας μαθητ(ὴς) γέγονε τοῦ ἁγίου ἀποστόλο(υ) Παύλου [. . .]
Τελ.: [. . .] καὶ πρὸς Κ(ύριο)ν ἀνελθών, πρεσβεύει ὑπὲρ ἡμ((ῶν).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ὁσία Σάρρα ἐν εἰρήν(ῃ) τε(λειοῦται)».

Κόλπους ὑποσχὼν τὴν νέαν Σάρραν δέχου,
ὦ τῆς παλαιᾶς 'Αβραὰμ Σάρρας ἄνερ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγ(ίων) μαρτύρ(ων)· 'Ανδρέου τοῦ στρατιώτου· 'Ηρακλείου· Φαύστου· Μηνᾶ (καὶ) τ(ῆς) συνοδεί(ας) αὐτῶν· καὶ ἡ σύναξις τοῦ ἀρχιστρατήγου Γαβριήλ· (καὶ) μνήμη τοῦ ἁγίου μ(άρτυ)ρ(ος) Μάμαντος πέραν ἐν τῷ Σίγματι».

ια' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιδ'. Μνήμη τοῦ ἁγίου μάρτυρος 'Ιούστου».

Μὴ θῦμα βάλλ(ειν) εἰς τ(ὸ) πῦρ βωμοῦ θέλων,
εἰς πῦρ 'Ιοῦστος θῦμα βάλλεται ξένον.
'Ιούστου δεκάτῃ σμύχεται δέμας ἠδὲ τετάρτῃ.

1. λόγμας cod.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ τῆς πόλεως Ῥώμης, ἐν τοῖς νουμέροις στρατευόμενος [. . .]
(φ. 146α) Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ Ὀρφανοτροφείῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ θαυματουργοῦ Ὀνησίμου».

Ἐλαφρ(ὸν) ἦρα φορτίον σὸν ἡδέως,
μεθ' οὗ σὸς Ὀνήσιμος ἥκω σοι λόγε.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ἕτερός ἐστι παρὰ τὸν μαθητ(ὴν) Παύλου τοῦ ἀποστόλ(ου)· ἦν δὲ ἐπὶ Διοκλητιανοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης [. . .]
Τελ.: [. . .] κἀκεῖ τὸ λειπόμενον τῆς ζωῆς ὁσί(ως) διανύσας, πρὸς Κ(ύριο)ν ἐκδημῆσαι.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἰωσὴφ ὁ ἀρχιεπίσκοπος Θεσσαλονίκ(ης), ἀδελφὸς (δὲ) τοῦ ἁγίου Θε(οδώ)ρ(ου) τοῦ Στουδίτου, ἐν εἰρήνῃ τελειοῦται».

(φ. 146β) Ἔσοπτρον ἡ σάρξ, οὗ λυθέντος παμμάκαρ,
λυτὸν μέσον σοὶ πρὸ(ς) Θ(εο)ῦ θεωρί(αν).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτυρες Ἀκύλας καὶ Ἱλάριος λιθοβοληθέντ(ες), τελειοῦντ(αι)».

Τὸν Ἱλάριον καὶ τὸν Ἀκύλαν λίθοις
ἄνδρες πλάνης κτείνουσ(ιν), οἷς θεοὶ λίθοι.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Πέτρος Κρήτης ὁ νέος, τοὺς πόδ(ας) ἐκκοπείς, τελειοῦται».

Ἀπροσκόπτως ἔχοντα τὸν θεῖον Πέτρον,
ἐζημίωσαν τῶν ποδῶν ἀφαιρέσει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτ(υς) Ἡράκλειος, ῥοπάλοις τυπτόμενος, τελειοῦται».

Τὰς ἐκ ῥοπάλων Ἡράκλειος αἰκίας,
ὡς Ἡρακλῆς ῥόπαλον αὐχήσει τάχα.

ιβ' «Μη(νὶ) τῷ αὐτῷ, ιε'. Μνήμη τ(ῶν) ἁγί(ων) μαρτ(ύ)ρ(ων) Κηρύκου (καὶ) Ἰουλίττ(ης) τῆς αὐτοῦ μ(ητ)ρ(ό)ς».

Ἰουλῖττα σύναθλος υἱῷ Κηρύκῳ,
ἡ λαιμότμητος τῷ κάραν τεθλασμένῳ.
Πέμπτῃ Ἰουλῖτταν δεκάτῃ τάμον, υἷα δ' ἔαξ(αν).

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἡ ἁγία μάρτυς Ἰουλῖττα, ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέ(ως), ὁρμωμένη ἐξ Ἰκονίου. [. . .]
Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτ(ῶν) σύναξις ἐν τῷ εὐκτηρίῳ οἴκῳ τοῦ Ἀρχαγγέλου Μιχαὴλ ἐν τοῖς Ἀδδᾶ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μ(άρτυ)ρ(ος) Ἀβουδίμου».

Ἀβουδίμῳ μάχαιρα πρόξενος τέλ(ους),
αὕτη δὲ τούτῳ πρόξενος καὶ τοῦ στέφους.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βα(σιλέως)· κατασχεθ(εὶς) δὲ καὶ θῦσαι τοῖς εἰδώλεις μὴ ἀνεχόμενος [. . .]
Τελ.: [. . .] μαχαίρᾳ τὴν κεφαλ(ὴν) ἀφαιρεῖτ(αι).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Λολλιανός, ὑπὸ δημί(ων) αἰκιζόμ(εν)ο(ς), τελειοῦτ(αι)».

(φ. 147α) Ποσὶ προθύμοις ἔδραμε τρίβον τέλους,
ὁ Λολλιανός, οὗ ποσίκρουστον τέλος[1].

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου βασιλέως Ἰουστινιανοῦ τοῦ νέου ἐν τοῖς ἁγίοις Ἀποστόλοις».

ιγ´ «Μη(νὶ) τῷ αὐτ(ῷ) ις´. Μνήμη τοῦ ἁγίου ἱερομ(άρτυ)ρ(ος) Ἀθηνογένους ἐπισκόπου γενομ(έν)ου Πηδαχθόης· καὶ τῶν δέκα αὐτοῦ μαθητῶν».

Ἀθηνογένης ἐκ ξίφους ἀνῃρέθη,
ψευδῆ θέαιν(αν) τὴν Ἀθηνᾶν οὐ σέβων.

Χωρεῖ συνάθλων ἡ δεκὰς πρὸ(ς) τὸ ξίφος,
τοὺς σώματα κτείναντας οὐ φοβουμένη.

Ἕκτῃ καὶ δεκάτῃ Ἀθηνογένην τάμε χαλκός.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Ὁ ἅγιος μάρτυς Ἀθηνογένης ἦν ἀπὸ Σεβαστεί(ας), ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως [. . .]
Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τῷ ὄντι ἐν τῷ Κυπαρισίῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μάρτ(υ)ρ(ος) Ἀντιόχου, αὐταδέλφου τοῦ ἁγίου μ(άρτυ)ρ(ος) Πλάτωνος».

Πρὸς τὸν τὸ πᾶν βλέποντα δεσπότ(ην) βλέπ(ων),
ἀντέσχες Ἀντίοχε (καὶ) τομ(ῆς) ἄχρι.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ πόλε(ως) Σεβαστεί(ας), ἰατρὸς τὴν τέχνην [. . .]
(φ. 147β) Τελ.: [. . .] ἀφαιρεῖτ(αι) καὶ αὐτὸς τὴν κε(φα)λ(ὴν) αὐτοῦ καὶ προστίθεται τῷ ἁγίῳ Ἀντιόχῳ.

1. τέλους cod.

«Τῇ αὐτῇ ἡμέρᾳ χιλιάδες δεκαπέντ(ε) ἅγιοι μ(άρτυ)ρ(ες) ἐν Πισιδίᾳ τελειοῦντ(αι)».

Θείων ἀθλητ(ῶν) ἀμφὶ πέντε καὶ δέκα
χιλιάδας τέμνουσιν ἀμφὶ γῆν μίαν.

«Τῇ αὐτῇ ἡμέρᾳ ἅγιαι γυναῖκες πολλαὶ ξίφει τελειοῦντ(αι)».

Πολλαὶ γυναῖκες· εἰ δέ τ(ις) ζητεῖ πόσαι,
οὐκ οἶδα· Χ(ριστὸ)ς οἶδε, τέμνοντ(αι) κάρας.

ιδ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιζ'. Μνήμη τῆς ἁγίας καλλινίκου μάρτυρος τοῦ Χ(ριστο)ῦ Μαρίνης».

Ἐπιτρέπει σοι πῶς ἂν εἴποις Μαρῖνα,
σῶν αἱμάτων ἔρευθος ἃ ξίφει χέεις.
Ἑβδομάτη δεκάτη Μαρῖναν κτάνε φάσγανον ὀξύ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ὑπῆρχεν ἐξ Ἀντιοχεί(ας) τῆς Πισιδίας, θυγάτηρ Αἰδεσίου [. . .]
Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτ(ῆς) σύναξις ἔνδον τοῦ ἁγίου μάρτυρος Μηνᾶ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγίων μαρτύρων, Παύλου· Οὐαλεντίν(ης) (καὶ) Θεῆς».

Αἰγυπτιάζεις Παῦλε γλώττῃ τοῦ γένους,
οὐ μὴν γε πίστει· τοιγαροῦν κτείνῃ ξίφει.

Οὐαλεντῖναν καὶ Θεὴν ἠρτημένας,
ἐχθροὶ Θ(εο)ῦ ξαίνουσιν ὡς ἐχθρὰς πλάνης.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι ὑπῆρχον Αἰγύπτιοι· ἐπὶ (δὲ) τ(ῆς) πόλ(εως) Διοκαισαρείας ἀχθέντες [. . .]
(φ. 148α) Τελ.: [. . .] ἐπὶ ξύλου τανυσθεῖσαι καὶ ξεσθεῖσαι, διὰ σιδήρου καὶ πυρὸς ἀναιροῦνται.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμην ἐπιτελοῦμ(εν) τῶν ἑξακοσί(ων) τριάκοντα ἁγίων (καὶ) μακαρί(ων) π(ατέ)ρων, τῶν κ(α)τ(ὰ) τ(ὴν) τ(ῆς) Χαλκηδόνος μ(ητ)ρόπολ(ιν) τῆς Βιθυνίας [. . .] συνελθόντ(ων) ἐπὶ Μαρκιανοῦ εὐσεβοῦς βασιλέως καὶ καθελόντ(ων) τὸν δυσσεβῆ Εὐτυχῆ καὶ τούς τούτου ὁμόφρονας [. . .]».

Θ(εο)ῦ λόγου σάρκωσιν ἀψευδεστάτην,
ὁ φάσμα φάσκ(ων) Εὐτυχὴς καθῃρέθη.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Λάζαρος, ὁ ἐν τῷ Γαλησίῳ ὄρει ἀσκήσ(ας), ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ἑτοίμασον τὸν κόλπον Ἀβραὰμ π(άτ)ερ,
οὐχ ὑστεροῦντι Λαζάρῳ σοῦ Λαζάρου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ὀνησιφόρος καὶ Πορφύριος ὁ δοῦλος αὐτοῦ, ὑπὸ ἵππων συρόμενοι, τελειοῦντ(αι)».

Ἵπποις Ὀνησιφόρε πρὸς Θ(εὸ)ν τρέχων,
ἔχεις συνιππεύοντα (καὶ) τὸν οἰκέτην.

ιε' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιη'. Μνήμη τοῦ ἁγίου μάρτυρος Αἰμιλιανοῦ».

Αἰμιλιανὸς ἀνθράκων βληθεὶς μέσον,
ὃν Ἠσαΐας εἶδεν ἄνθρακα βλέπει.
Ὀγδοάτῃ δεκάτῃ καῦσαν πυρὶ Αἰμιλιανόν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐκ Δοροστόλου, πόλεως Μυσί(ας) τῆς Θράκης [. . .]
(φ. 148β) Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρ||τυρίῳ αὐτοῦ τῷ ὄντι ἐν τῇ Ῥάβδῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μ(άρτυ)ρ(ος) Ὑακίνθου τοῦ ἐν Ἀμάστριδι».

Ὡς ὀσφράδιον ὑακίνθινον λόγε,
δέξαι τὸν Ὑάκινθον αὐτῷ καλάμῳ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἔφυ ἐκ γονέων εὐσεβῶν, Θεοκλήτου καὶ Θεονίλλης· Ἡρακλείδου τῆς ἐν Ἀμάστριδι ἐκκλησί(ας) προϊσταμένου [. . .]
Τελ.: [. . .] τοῖς συνελθοῦσι διανέμει, εἰς ψυχῶν καὶ σωμάτων θεραπείαν καὶ ἴασιν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος ἱερομάρτυς Μάρκελλος, πυρακτωθέντι κραββάτῳ (καὶ) ἁπλωθείς, τελειοῦτ(αι)».

Ἀνακλιθεὶς Μάρκελλος εἰς πυρὸς κλίνην,
ὕπνωσ(εν) ὕπνον ὡς μακάριον πάνυ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτ(υ)ρ(ες) Δάσιος καὶ Μάρων ξίφει τελειοῦντ(αι)».

Ἡ τῆς κεφαλῆς ἐκτομὴ τῷ Δασίῳ,
τέλους ὁμοίου σοὶ Μάρων δᾳδουχία.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Παμβὼ ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ἑαυτὸν ἐστ(αύ)ρωσε Παμβὼ τῷ βίῳ,
καὶ σοὶ παρέστη σῶτερ ἐστ(αυ)ρωμένε.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Στεφάνου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ἐξ Ἀμασείας τεχθέντος· καὶ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ ὁμολογητοῦ Ἰω(άνν)ου μ(ητ)ροπολίτου Χαλκηδόνος· καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγί(ας) [. . .] Θ(εοτό)κου τῶν Καλλιστράτου».

ις' (φ. 149α) «Μη(νὶ) τῷ αὐτ(ῷ), ιθ'. || Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Δίου».

Γεύῃ τελευτ(ῆς) (καὶ) σὺ παμμάκαρ Δῖε,
ἔνδοξε κλῆσιν, ἀλλὰ καὶ πρᾶξιν πλέον.
Ἀμφ' ἐνάτην δεκάτην περίκλυτος ἔκθανε Δῖος.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Θεοδοσίου τοῦ μεγάλου· ἐξ Ἀντιοχεί(ας) τ(ῆς) Συρί(ας) [. . .]
Τελ.: [. . .] ἐπιβιώσ(ας) οὖν τὸν εἰρημένον χρόνον, πρὸς Κ(ύριο)ν ἐξεδήμησ(εν).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῆς) ὁσί(ας) μ(ητ)ρ(ὸ)ς ἡμ(ῶν) Μακρίνης τ(ῆς) αὐταδέλφης τοῦ Μεγάλ(ου) Βασιλ(είου)».

Μικρόν τι μικρ(ὸν) μακρύνουσα Μακρῖνα
κόσμου, σεαυτ(ὴν) ἤγγισ(ας) τῷ Κ(υρί)ῳ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη κάλλει σώματος καὶ κόσμου καὶ τρόπου κοσμουμένη [. . .]
(φ. 149β) Τελ.: [. . .] ἐν αὐταῖς ταῖς τελευταί(αις) ἀναπνοαῖς, ἐξεδήμησε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι τέσσαρες ἀσκητ(αὶ) ἐν εἰρήνῃ τελειοῦντ(αι)».

Ἀνδρῶν μοναστ(ῶν) τετράριθμος ἀκρότης,
τοῖς τετραμόρφοις συμπαρίσταται νόοις.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι Ἀπολλινάριος καὶ Βιτάλιος ξίφει τε(λειοῦνται)».

Τὸν Ἀπολλινάριον ἐκτετμημένον,
ἔσπευδε Βιτάλιος αὐτίκα φθάσας.

ιζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κ'. Ἡ πυρφόρος ἀνάβασις ὡς εἰς οὐ(ρα)νοὺς τοῦ ἐν προφήταις μεγίστου Ἠλιοῦ».

Ὡς ζῶν ἀνήχθης, οἶδα· πῶς δὲ καὶ θάνῃς,
σαφῶς, προφῆτα, μὴ γινώσκ(ων) οὐ γράφω.
Δίφρῳ ἀνηρείφθ(ης) περὶ εἰκάδα Ἠλία ἱππεῦ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἦν υἱὸς Σωβάκ, ἐκ Θέσβης· ἐκ γῆς Ἀράβων [. . .]
Τελ.: [. . .] καὶ τελεῖτ(αι) ἡ αὐτ(οῦ) σύναξ(ις) ἐν τῷ σεπτῷ αὐτοῦ προφητείῳ τῷ ὄντι ἐν τῷ Πετρίῳ· καὶ ἐν τῇ ἐκκλησίᾳ τῇ ἐπονομαζομένῃ Νέᾳ.

ιη' «Μη(νὶ) τῷ αὐτ(ῷ) κα'. Μνήμη τ(ῶν) ἁγί(ων) καὶ ὁσί(ων) π(ατέ)ρων ἡμ(ῶν) (φ. 150α) || Ἰω(άνν)ου καὶ Συμεὼν τοῦ διὰ Χ(ριστὸ)ν Σαλοῦ».

Ἔμφρων σὺ μωρὸς ὃς βίον παίζων πάτερ,
ὄφιν φρονοῦντα λανθάνει<ς> τέλους ἄχρι.

Κόσμος σε μωρὸν ᾤετο φθαρτὸ(ς) μάκαρ,
ὃν ἐκγελάσας ἀγχίν(ους) ἥκεις ἄνω.
Ψευδάφρων περίφρων Συμε(ὼν) θάν(εν) εἰκάδι πρώτῃ.

Ἀκολουθεῖ (φ. 150α-β) συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἀπὸ Συρίας, ἐκ πόλεως Ἐδέσσης· ἐπὶ τῆς βασιλεί(ας) Ἰουστίνου τοῦ νέου [. . .]

(φ. 150β) Τελ.: [. . .] καὶ μεθ' ἡμέρας ἐλθὼν Ἰωάννης ὁ φίλος αὐτοῦ καὶ συνασκητής, εὗρεν αὐτὸν πρὸς Κ(ύριο)ν ἐκδημήσαντα.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) τοῦ ἁγίου προφήτ(ου) Ἰεζεκιήλ».

Ἰεζεκιὴλ ἐβράϊζε κἀν πόλῳ,
Ἀδωναΐ, βλέπω σε, φάσκων Κ(υρί)ῳ.

Ἀκολουθεῖ (φφ. 150β - 151α) συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἦν υἱὸς τοῦ Βουζί· ἐκ γῆς Ἀριρᾶ, τ(ῶν) ἱερέων· καὶ προεφήτευσ(εν) ἔτη εἴκοσιν [. . .]

(φ. 151α) Τελ.: [. . .] σκληρὸς τὸ πρόσωπον, τὸ γένειον δενδρὸν καὶ ἐπίμηκες ἔχων.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι τρεῖς μάρτυρ(ες) οἱ ἐν Μελιτηνῇ, κατὰ πετρ(ῶν) συρόμ(εν)οι, τελειοῦντ(αι)».

Δώσουσι φων(ὴν) ἐκ μέσου πετρ(ῶν) ἅμα,
τὸ τῆς Γραφῆς· τρεῖς θνήσκομ(εν) σεσυρμένοι.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτ(υ)ρ(ες) Ἰοῦστος καὶ Ματθίας ξί(φει) τελειοῦντ(αι)».

Ξίφει τραχήλους ἄνδρες ἐκδόντ(ες) δύο,
κοινοῦ τέλους λάβωσι κοινὰ τὰ στέφη.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἰγνάτιος ὁ Στειρωνίτης ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Πρὶν γῆς ἀπελθ(εῖν) ἀρετῆς καρποὺς φύσας,
τὸ στεῖρον ἐξέφυγεν ὁ Στειρωνίτης.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μ(ά)ρ(τυς) Εὐγένιος ξίφει τελειοῦτ(αι)».

Γενναιότητος εὖγε τῆς Εὐγενίου,
ὃς εὐγεν(ῶς) στάς, πλήττεται κατ' αὐχένος.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγί(ων) μαρτύρων Θεοδώρου καὶ Γεωργίου· καὶ ἡ σύναξις τοῦ ἁγίου Ἐλευθερίου πλη(σίον) τοῦ Ξηρολόφου· καὶ τοῦ ἁγίου μάρτυρος Ἀκακίου ἐν τῷ Ἑπτασκάλῳ· καὶ μνήμη (καὶ) σύναξις τῆς [. . .] Θ(εοτό)κου ἐν τοῖς Ἀρματίου».

ιθ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κβ'. Μνήμη τῆς ἁγί(ας) καὶ Μυροφόρου Μαρί(ας) τῆς Μαγδαληνῆς».

Ἁφαῖς ἀΰλοις ἅπτεταί σου Χ(ριστ)έ μου,
μή μου, πρὸς ἣν ἔφησ(ας), ἅπτου Μαρία.
Δευτερίῃ Μαρίη μῦσεν εἰκάδι Μαγδαληνή.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Ἥτις προσελθοῦσα τῷ Χ(ριστ)ῷ, ἠκολούθησ(εν) αὐτῷ· αὕτη ἐκ τ(ῶν) Μαγδάλων ἦν τῶν ὁρίων τῆς Συρί(ας) [. . .]
(φ. 151β) Τελ.: [. . .] καὶ ἡ σύναξις αὐτ(ῆς) τελεῖτ(αι) καὶ ἐν τοῖς Κουράτωρος πλησίον τοῦ Ταύρου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς ἁγί(ας) ὁσιομάρτ(υ)ρ(ος) Μαρκελλίνης [sic]».

Κἂν ἀγνοῶμεν πάντες ἡμεῖς, Μαρκέλλα,
ἀθλήσεως σῆς οἶδε Χ(ριστὸ)ς τὸν τρόπον.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Ἥτις ὅσον ἀπὸ τοῦ μὴ ἐμφέρεσθαι εἰς αὐτ(ὴν) μήτε κανόνα μήτε ὑπομνήματα, ἄγνωστος εἶναι ἐδόκει [. . .]
Τελ.: [. . .] καὶ ὑπὸ τοῦ ἐκεῖσε πελάγους πρὸς τὸν να(ὸν) βλύζουσα.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγί(ων) Τροφίμου (καὶ) Θεοφίλου· καὶ ἑτέρ(ων) τρι(ῶν) καὶ δέκα».

Ὁ Θεόφιλος τέμνεται τὸν αὐχένα,
ὑπὲρ Θ(εο)ῦ φιλοῦντος ἀν(θρώπ)ων γένος.

Εἰκάδι δευτερίῃ[1] Τρόφιμος ἄνδρας συντρόφους,
ἔχων συνάθλους, τέμνετ(αι) τούτοις ἅμα.

Ἀκολουθεῖ συντομώτατον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι διὰ τὸ μὴ εἶξαι τῷ θελήματι τοῦ Διοκλητιανοῦ [. . .]
Τελ.: [. . .] καὶ ἀπήμαντοι διαφυλαχθέντ(ες), τὰς κε(φα)λ(ὰς) ἀποτέμνοντ(αι).

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ἀπολλώνιος ἐπίσκοπος Ῥώμης, εἰς πῦρ βληθεὶς καὶ ὑπὸ δημί(ων) τοξευόμ(εν)ο(ς), τελειοῦτ(αι)».

(φ. 152α) Ἀπολλωνίῳ διπλόμοχθο(ς) ἡ πάλη,
μοχθοῦντι πρὸ(ς) πῦρ (καὶ) τὰ τῶν τόξων βέλη.

κ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κγ'. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ».

Νέαν κιβωτὸν Ἰ(σρα)ὴλ αἴρει νέος,
Φωκᾶν νεκρὸν φέρουσαν ὡς ἄλλ(ας) πλάκας.
Εἰκάδ(ι) τῇ τριτάτῃ Φωκᾶς νεκρὸ(ς) ἀνεκομίσθη.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτός ἐστιν οὐχ ὁ κηπουρό(ς), ἀλλ' ἕτερος· ὃς ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως [. . .]
Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρίῳ τῷ ὄντι ἔνδον τοῦ ἁγίου ναοῦ [. . .] Ἰω(άνν)ου παρθένου τοῦ Θεολόγου· πλησίον τῆς μεγάλης Ἐκκλησίας.

1. Εἰκάδι δευτερίῃ: Τρισκαιδεκάτῃ cod.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς ὁσίας Ἄννης τῆς ἐν τῷ Λευκάτῃ».

Σὸς δέσμιος νοῦς σαρκικὰς ῥίψας πέδας,
εἴργοντος Ἄννα μηδενὸς Θ(εὸ)ν βλέπει.

Ἀκολουθεῖ (φ. 152α-β) συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ὑπῆρχεν ἐπὶ Θεοφίλου τοῦ ἀσεβοῦς, ἐκ γένους λαμπροῦ καὶ περιφανοῦς [. . .]
(φ. 152β) Τελ.: [. . .] οἶδε Θ(εὸ)ς τ(οὺς) δοξάζοντας αὐτὸν ἀντιδοξάζειν.

(φ. 153α) «Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἐν Βουλγαρίᾳ ἁγί(ων) μαρτύρων, τῶν ἐν ποικίλοις καὶ διαφόροις τρόποις τελειωθέντ(ων)».

Ἄνδρας δικαίους καὶ τρόποις οὐ ποικίλους,
ἄνδρες φονεῖς κτείνουσι ποικιλοτρόπως.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων ἑπτὰ μαρτύρων τῶν ἐν Βουλγαρίᾳ· καὶ ἡ σύναξις τοῦ ἁγίου προφήτου καὶ βαπτιστοῦ Ἰω(άνν)ου ἐν τοῖς Ὀλύμπου, πλησίον τοῦ ἁγίου Θωμᾶ».

κα′ «Μη(νὶ) τῷ αὐτῷ κδ′. Μνήμη τῆς ἁγί(ας) μάρτυρος Χριστίνης».

Κτείνουσι πέλται τὴν σὴν Χ(ριστ)ὲ Χριστῖναν,
τὴν χριστιανῶν πίστιν οὐκ ἀρνουμ(ένην).
Εἰκάδι βλῆτο τετάρτῃ Χριστῖνα ὀξέσι παλτοῖς[1].

Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐκ τῆς Τύρων πόλεως, Οὐρβανοῦ τινος στρατηλάτου θυγάτηρ [. . .]
(φ. 153β) Τελ.: [. . .] τελεῖτ(αι) δὲ ἡ αὐτῆς σύναξις [. . .] καὶ ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Τρύφωνος· πλησίον τῆς ἁγί(ας) Εἰρήνης τῆς ἀρχαίας καὶ νέας.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς ὁσίας Εὐπραξίας».

Εὐπραξία πρόσεισι Χ(ριστ)ῷ πλουσία,
πολλαῖς κομῶσα ψυχικ(αῖς) ἐργασίαις.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη θυγάτηρ γέγονεν Ἀντιγόνου τινὸς συγκλητικοῦ [. . .]
Τελ.: [. . .] καὶ πολλ(οὺς) ποικίλων νόσων καὶ χαλεπ(ῶν) ἀπαλλάξασα, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῆς) ὁσί(ας) καὶ μακαρί(ας) Ὀλυμπιάδος».

Ὀλυμπιὰς πεσοῦσα π(ατ)ρίδος φίλης,
πρὸς τὴν ἄνω χαίρουσα βαίνει π(ατ)ρίδα.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου καὶ Ἀρκαδίου καὶ Ὀνωρίου τῶν υἱῶν αὐτοῦ [. . .]
(φ. 154α) Τελ.: [. . .] ὑπὲρ τ(ῆς) ἀληθεί(ας) ἐξορί(αν) ἄδικον ὑποστᾶσα· ἔνθα (καὶ) τὸ τοῦ βίου πέρας ἐδέξατο.

1. πελτοῖς cod.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Καπίτων ξίφει τελειοῦτ(αι)».

Ψυχῆς μ(ὲν) ὄμμα παντεπόπτῃ δεσπότῃ
τείνει Καπίτων, τὸν τράχηλον δὲ ξίφει.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Ὑμέναιος ξί(φει) τε(λειοῦται)».

Ἔχαιρεν Ὑμέναιος ἥκων πρὸς ξίφος,
ὥσπερ πρὸς ὑμέναιον ἥκων νυμφίος.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἑρμογένης, τοὺς ὀδόντας πάντας ἐκριζωθείς, τελειοῦτ(αι)».

Ἀνηλεῶς ὀδόντ(ας) ἐκκρουσθεὶς ὅλ(ους),
βρυγμ(ὸν) ὀδόντων Ἑρμόγενες ἐκφύγῃς.

κβ′ «Μη(νὶ) τῷ αὐτ(ῷ) κε′. Ἡ κοίμησ(ις) τῆς ἁγί(ας) Ἄννης τῆς μ(ητ)ρ(ὸ)ς τ(ῆς) ὑπεραγί(ας) Θ(εοτό)κου».

Μ(ήτ)ηρ τελευτᾷ μ(ητ)ροπαρθένου κόρης,
ἡ τ(ῶν) τεκουσῶν μ(ητέ)ρων σ(ωτη)ρία.
Πέμπτῃ ἐξεβίωσε μογοστόκος εἰκάδι Ἄννα.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Αὕτη ἡ προμήτωρ τοῦ Κ(υρίο)υ ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ κατὰ σάρκα [. . .]
(φ. 154β) Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτῆς σύναξις ἐν τῷ Δευτέρῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῶν ἁγί(ων) π(ατέ)ρων τῶν ἑξηκονταπέντε καὶ ἑκατόν, τῶν ἐν τῇ πέμπτῃ συνόδῳ συνελθόντων καὶ τὰ Ὠριγένους δόγματα καθελόντων».

Λόγοι Βελίαρ Ὠριγένους οἱ λόγοι,
οὕσπερ καθεῖλον προσκυνηταὶ τοῦ λόγου.

Ἀκολουθεῖ σύντομος διήγησις.

Ἀρχ.: Ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ ἦν π(ατ)ριάρχ(ης) Κωνσταντινουπόλ(εως) Ἄνθιμος ὁ αἱρετικὸς [. . .]
Τελ.: [. . .] ἑορτάζουσα ἡ τοῦ Θ(εο)ῦ ἐκκλησία τὴν τοιαύτ(ην) ἀνάμνησ(ιν) δοξάζει τὸν Θ(εό)ν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἀνάμνησις τῶν ἐν Βουλγαρίᾳ τελειωθέντων χριστιαν(ῶν) ἀδε(λφῶν) ἡμ(ῶν)· ἐπὶ Νικηφόρου τοῦ βασιλέως».
Ἀκολουθεῖ σύντομος διήγησις περὶ τῶν μαρτύρων.

Ἀρχ.: Ὃς ἐν τῷ ἐνάτῳ χρόνῳ τῆς αὐτοῦ βασιλεί(ας) κατὰ Βουλγάρ(ων) ἐλθὼν μετὰ τῶν ῥωμαϊκῶν στρατευμάτων [. . .]
(φ. 155α) Τελ.: [. . .] (καὶ) οὕτω τὸν βίον κατέλυσαν, τὸν τοῦ μαρτυρίου ἀναδυσάμενοι στέφανον.

«Τῇ αὐτ(ῇ) ἡμέρᾳ τῶν ἁγίων μαρτ(ύ)ρ(ων) Σάκτου· Ματούρου· Ἀττάλου (καὶ) Βλανδίνης».

Τρεῖς ἐξ ἑνὸς πνίγουσ(ιν) ἄνδρας σπαρτίου,
ὡς τρίπλοκόν τι σπαρτίον συνημμένους.

Νίκης ἀγῶνος ἱππικοῦ τῇ Βλανδίνῃ
δίδωσι λαμπρὰ παμβασιλεὺς τὰ στέφη.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία μάρτυς Ἱ(ερουσα)λὴμ ξίφει τελειοῦτ(αι)».

Τομ(ὴν) κεφαλῆς Ἱ(ερουσα)λὴμ φέρει,
καὶ τὴν ἄνω νῦν Ἱ(ερουσα)λὴμ βλέπει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Συμεὼν τοῦ ἐν τῇ Μάνδρ(ᾳ)· καὶ τὰ ἐγκαίνια τοῦ ἀρχαγγέλου Μιχαὴλ πέραν ἐν Σκάλαις· (καὶ) σύναξ(ις) τῆς [. . .] Θ(εοτό)κου ἐν τῷ Παγιδίῳ πλησίον τοῦ νέου Ἐμβόλου».

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μ(ά)ρ(τυς) Ἀπίων ξίφει τελειοῦται».

Τὸν σὸν ξίφει τράχηλον ἀτρέμας κλίνων,
τὸ τῆς τελευτ(ῆς) Ἀπίων πίνεις πόμα.

κγ´ «Μη(νὶ) τῷ αὐτ(ῷ) κς´. Μνήμη τοῦ ἁγ(ίου) ἱερομ(άρτυ)ρ(ος) Ἑρμολάου· καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντ(ων) Ἑρμίππου καὶ Ἑρμοκράτους».

Ἀρχῆς τὸ ταὐτὸν κλήσεως τ(ῶν) μαρτ(ύ)ρ(ων),
δηλοῖ τὸ ταὐτὸν τοῦ διὰ ξίφους τέλους.
Εἰκάδι Ἑρμόλεως καὶ οἱ σὺν αὐτῷ μάρτυρες ἕκτῃ ἐτμήθησαν.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ ἅγιος Ἑρμόλαος καὶ οἱ σὺν αὐτῷ μάρτυρες Ἕρμιππός τε καὶ Ἑρμοκράτης, ἐκ τοῦ κλήρου τῆς ἐν Νικομηδείᾳ ἁγί(ας) ἐκκλησί(ας) [. . .]
(φ. 155β) Τελ.: [. . .] ξίφει τὰς κε(φα)λ(ὰς) ἀποτέμνοντ(αι)· οὕτω περὶ τούτων δόξαν τῷ Μαξιμιανῷ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῆς) ἁγί(ας) κ(αὶ) καλλινίκου μεγαλομ(άρτυ)ρ(ος) Ὡραιοζήλης».

Ἀκολουθεῖ (φφ. 155β - 157α) συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἔχει μετὰ τῶν ἄλλων ἡ βασιλὶς αὕτη τῶν πόλεων καὶ τ(οὺ)ς τ(ῶν) φιλαρέτων ἐκείνων ἀνδρῶν τε καὶ γυναικ(ῶν) βίους [. . .]
(φ. 157α) Τελ.: [. . .] καὶ ὑπὲρ αὐτοῦ προθύμως τὸ αἷμα ἐχέαντο.

κδ´ «Μη(νὶ) τῷ αὐτ(ῷ) κζ´. Μνήμη τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος».

Γαλακτόμικτον αἷμα σῆς κάρας μάκαρ,
δι᾿ ἣν ὑδατόμικτον ὁ Χ(ριστὸ)ς χέει.
Φάσγανον ἑβδομάτῃ λάχεν εἰκάδι Παντελεήμων.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ πόλεως Νικομηδεί(ας)· π(ατ)ρ(ὸ)ς μ(ὲν) Εὐστοργίου τινὸς Ἕλληνος [. . .]
(φ. 157β) Τελ.: [. . .] ἀθρόως τελεσφορῆσαι καρπόν· τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῇ ἐπωνύμῳ ἐκκλησίᾳ αὐτοῦ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὑπὸ τοῦ ἁγ(ίου) Παντελεήμονος ἰαθεὶς τυφλός, τὸν Χ(ριστὸ)ν ὁμολογήσ(ας), ξίφει τελειοῦτ(αι)».

Αὐγὴν ἐφευρὼν σαρκικῶν τυφλὸς λύχνων,
καὶ ψυχικ(ὴν) ἤθρησ(εν)[1] αὐγ(ὴν) ἐκ ξίφους.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς ὁσ(ίας) μ(ητ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀνθούσης τ(ῆς) συγκειμένης εἰς τ(ὴν) εὐαγεστάτ(ην) μον(ὴν) τοῦ Μαντινέου».

Ὃν εἶπε Χ(ριστὸ)ν Ἀνθοῦσα παρὰ πλάνοις,
καὶ Χ(ριστὸ)ς αὖθις Ἀνθοῦσαν παρ' ἀγγέλοις.

Ἀκολουθεῖ (φφ. 157β - 159α) συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Κοπρωνύμου· π(ατέ)ρων εὐσεβῶν [. . .]
(φ. 159α) Τελ.: [. . .] κατετέθη ἐν τῷ κελλίῳ ἐν ᾧ καὶ ἐβίωσε, θαύματα ἐκτελοῦσα παράδοξα εἰς δόξαν τοῦ Θ(εο)ῦ ἡμῶν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι πεντηκοντατρεῖς μάρτυρες, οἱ ἐκ Θρᾴκης, ἐν τῇ θαλάσσῃ τελειοῦντ(αι)».

Θαλασσοάθλους ἰσαρίθμους Χ(ριστ)έ μου,
ἄγρα θαλάσσης Τιβεριάδο(ς) δέχου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Μανουὴλ ἐν εἰρήνῃ τελειοῦται».

Εἴκειν λογισμῷ Μανουὴλ πείσας πάθη,
παθῶν ὑπῆρξε πρὶν θαν(ὼν) αὐτοκράτωρ.

κε' «Μη(νὶ) τῷ αὐτ(ῷ) κη'. Μνήμη τοῦ ἁγ(ίου) ἀποστόλ(ου) Τίμωνος».

Τιμῶ σε Τίμων ὡς ἀποστόλ(ων) ἕνα,
ὡς μαρτύρων <τε> τ(ῶν) κεκαυμένων ἕνα.
Καύθη ὀγδοάτῃ πυρὶ κηλέῳ εἰκάδι Τίμων.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγ(ίων) ἀποστόλων καὶ συνδιακόνων τῷ πρωτομάρτυρι Στεφάνῳ· Προχόρου· Νικάνωρος καὶ Παρμενᾶ».

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν ἀποστόλων.

Ἀρχ.: Τὸ μακάριον ἀπεφήνατο στόμα· ὅτι πάντα εἰς δόξαν Θ(εο)ῦ ποιεῖτε (. . .]
(φ. 159β) Τελ.: [. . .] ἵν(α) τῷ καιρῷ τῶν ἀνταποδόσεων ἀγαλλιαθῶμ(εν) ἐν Χ(ριστ)ῷ Ἰ(ησο)ῦ τῷ Κ(υρί)ῳ ἡμ(ῶν).

1. ἤθροισ(εν) cod.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀκακίου τοῦ νέου».

Τράχηλον Ἀκάκιος ἐκτμηθεὶς ξίφει,
ψυχῆς τὸ λευκ(ὸν) μηνύων βλύζει γάλα.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Λικινίου, νέος τὴν ἡλικίαν, ᾧ προσαχθεὶς [. . .]
Τελ.: [. . .] κατέθετο εἰς τόπον κατάσκιον· πολιτευομένου τινὸς ὀνόματι Δορυμέδοντος ἐκ Συνάδων· ὃς ἐμαρτύρησε σὺν τῷ ἁγίῳ Τροφίμῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία μάρτ(υς) Δροσίς, χώνῃ χρυσοῦ ἐμβληθεῖσα, τελειοῦται».

Χρυσοῦ Δροσ(ὶς) βληθεῖσα χωνευτηρίῳ,
οὐχ εὑρέθη κίβδηλος ἢ μικτὴ ῥύπῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς ὁσί(ας) μ(ητ)ρ(ὸ)ς ἡμ(ῶν) Εἰρήνης, ἐκ τῆς τ(ῶν) Καππαδοκ(ῶν) ὁρμωμένης· κειμένης (δὲ) ἐν τῇ μονῇ τοῦ Χρυσοβαλάνου· καὶ τὰ ἐγκαίν(ια) τοῦ ναοῦ τῆς [. . .] Θ(εοτό)κου ἐν τοῖς Διακονίσσ(ης)».

κς´ (φ. 160α) «Μη(νὶ) τῷ αὐτ(ῷ) κθ´. Μνήμη τοῦ ἁγ(ίου) μάρτυρος Καλλινίκου τοῦ ἐν Γάγγρᾳ».

Βληθεὶς ὁ Καλλίνικος ἐν τῇ καμίνῳ,
τὸ νικοκαλλὲς εὗρε καὶ θεῖον στέφος.
Εἰκάδι ἀμφ' ἐνάτην φλὸξ Καλλίνικον κατέδαψεν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ἔσχε τὸ γένος ἐκ Κιλικίας· ἦν δὲ ἀγαθὸς καὶ διαφερόντως [. . .]
Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις πλησίον τῆς Ἰουστινιαν(ῆς) Γεφύρας καὶ πλησίον τοῦ Πετρίου.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγ(ίου) μάρτυρος Εὐσταθίου τοῦ ἐξ Ἀγκύρας».

Ῥυσθεὶς ποταμοῦ παμμάκαρ παρ' ἀγγέλου,
ταῖς χερσὶ τοῦ σώσαντος ἐκπνεῖς ἀγγέλου.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος στρατιώτης ἦν· καὶ προσαχθεὶς Κορνηλίῳ τῷ ἡγεμόνι Ἀγκύρ(ας) καὶ ἐρωτηθεὶς [. . .]
(φ. 160β) Τελ.: [. . .] ταῖς χερσὶ τοῦ ἐπιφανέντος ἀγγέλου τὸ πν(εῦμ)α παρέθετο.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος ἀπόστολο(ς) Ἀρτεμᾶς, ἐκ τ(ῶν) ἑβδομήκοντ(α) μαθητ(ῶν), ἐν εἰρήνῃ τελειοῦτ(αι).

Δόξης μετέσχεν Ἀρτεμᾶς τῆς τῶν νόων,
τὸν νοῦν φυλάξας ἄρτιον τῷ Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Κωνσταντῖνος, π(ατ)ριάρχ(ης) Κωνσταντινουπό-λ(εως), ἐν εἰρή(νῃ) τελειοῦται».

Ἔχεις ἄληκτον εἰς Ἐδὲμ προεδρίαν,
Κωνσταντῖνε πρόεδρε τῆς Κωνσταντίνου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτ(υ)ρ(ες) π(ατ)ὴρ καὶ μ(ήτ)ηρ μετὰ τ(ῶν) δύο τέκν(ων) αὐτῶν πυρὶ τελειοῦντ(αι)».

Π(ατ)ὴρ ἐκαύθη (καὶ) τεκοῦσα καὶ τέκνα,
τὸ πατρομητρότεκνον ἀθλητ(ῶν) γένος.

κζ΄ «Μη(νὶ) τῷ αὐτ(ῷ) λ΄. Μνήμη τῶν ἁγίων ἀποστόλων Σίλα καὶ Σιλουανοῦ».

Τοὺς κήρυκάς σου Σιλουανὸν καὶ Σίλαν,
π(άτ)ερ θανόντας πῶς ἀκηρύκτους λίπω;
Ἄμφω ἐκθανέτην μύσται Θ(εο)ῦ ἐν τριακοστῇ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν ἀποστόλων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐκ τῶν ἑβδομήκοντα ἀποστόλων· καὶ ὁ μ(ὲν) Σίλας τῷ μακαρίῳ συνεκοπία Παύλῳ [. . .]
Τελ.: [. . .] καὶ καλῶς οὗτος ἀγωνισάμενος [. . .] ἀνῆλθε Χ(ριστό)ν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγ(ίου) Ἰω(άνν)ου τοῦ στρατιώτου».

Εἰ βαρβάρ(ους), οὐκ οἶδα, δαίμονας τέως,
ἕως τελευτῆς ἔτρεπες χριστοπολῖτα.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου, συνεχιζόμενον ἀπὸ τοῦ φύλλου 160β εἰς τὸ φύλλον 161β.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου, στρατευόμενος ἐν τῷ νουμέρῳ [. . .]
(φ. 161β) Τελ.: [. . .] τελεῖτ(αι) δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ [. . .] Ἰω(άννου) παρθένου τοῦ Θεολόγου, πλησίον τῆς ἁγιωτ(ά)τ(ης) μεγάλ(ης) ἐκκλησί(ας).

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Βασιλίσκος ὁ γέρων ξίφει τελειοῦτ(αι)».

Ναί, Βασιλίσκε, ψαλμικῶς ἐπ' ἀσπίδα
καὶ βασιλίσκον βαῖνε, τὴν τομὴν φέρων.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτ(υς) Μάμας ἐν τῇ θαλάσσῃ τελειοῦται».

Ὡς οἷα μύστης τῶν ἁλιέων Μάμας,
τολμᾷ θαλάσσης ἐξερευνᾶν καὶ βάθη.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἀπὸ τοῦ Μεγάλου Παλατίου ἐξέλευσις πρὸς τὴν πόλιν τοῦ τιμίου στ(αυ)ροῦ».

Οἴκου προελθὼν στ(αυ)ρὸς ἐκ βασιλέ(ων),
οἴκοις ἑορτὰς προξενεῖ τοῖς ἐν πόλει.

᾽Ακολουθεῖ σύντομος διήγησις.

῎Αρχ.: ᾽Εξέρχεται (δὲ) ἀπὸ τοῦ παλατίου καὶ ἔρχεται πλησί(ον) τῆς μεγάλης ἐκκλησίας· καὶ προϋπαντᾷ αὐτῷ ὁ δευτερεύ(ων) τῶν ἱερέ(ων) [. . .]
Τελ.: [. . .] καὶ τοῖς νοσοῦσι τὴν ὑγίειαν παρέχειν, ὅθεν ἂν διέλθοι καὶ ὅθ(εν) προσψαύσοι.

κη′ (φ. 161α) [Μηνὶ τῷ αὐτῷ λα′. Μνήμη τοῦ ἁγίου καὶ δικαίου Εὐδοκίμου.]

Τὸ θεῖον εὐδόκησεν ἐκστῆναι βίου
τὸν θεῖον Εὐδόκιμον, ᾧ βίο(ς) γέλ(ως).
Δέχνυται Εὐδόκιμον πρώτῃ τάφος ἐν τριακοστῇ.

᾽Ακολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

῎Αρχ.: Οὗτος ὁ μακάριος ὑπῆρχεν ἐπὶ Θεοφίλου τοῦ μισοχρίστου· οὗ οἱ γεννήτορες σὺν τῇ τοῦ βίου περιφανείᾳ [. . .]
Τελ.: [. . .] γέγονε (δὲ) ἡ τοῦ λειψάνου αὐτοῦ μετακομιδὴ πρὸς τὸ Βυζάντιον ἰουλλίου ἕκτῃ· ἡ κοίμησις δ᾽ αὐτοῦ ἰουλλίου τριακοστῇ πρώτῃ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς ἁγί(ας) μ(άρτυ)ρ(ος) ᾽Ιουλίττας τῆς ἐκ Καισαρεί(ας)».

῾Ως ἀχλυῶδες (καὶ) τὸ πῦρ τῆς καμίνου,
πρὸς τὴν καλὴν λάμπουσαν ἦν ᾽Ιουλῖτταν.

᾽Ακολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος, τὸ ὁποῖον, ἀπὸ τοῦ φύλλου 161α συνεχίζεται καὶ τελειώνει εἰς τὸ φύλλον 162α (ἐνῷ τὸ φ. 161β ἀποτελεῖ συνέχειαν τοῦ φ. 160β).

῎Αρχ.: ῞Ητις ὥρμητο ἐκ πόλεως Καισαρεί(ας) Καππαδοκί(ας)· ἣν καὶ ὁ Μέγ(ας) Βασίλειος ἐγκωμίοις ἐτίμησε [. . .]
(φ. 162α) Τελ.: [. . .] αὐτῆς δὲ τὸ σῶμα ἀκέραιον διεσώσατο τοῖς προσήκουσι καὶ πᾶσι τοῖς πιστοῖς.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιο(ς) ἀπό(στολος) Τυχικὸς ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Σαρκώσεως ὑπῆρξε τοῦ Θ(εο)ῦ λόγου
κῆρυξ Τυχικὸς ἄχρι σαρκὸς ἐξόδου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) ἀπό(στολος) Τρόφιμος ξίφει τελειοῦται».

Γραφὴν Τρόφιμος πίστεως ὀρθῆς νόμοις,
ταύτην διδάσκων, τέμνετ(αι) τὸν αὐχένα.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος ᾽Ιωσήφ, ὁ ἀπὸ ᾽Αριμαθαί(ας) κηδευτὴς τοῦ Χ(ριστο)ῦ, ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Κήδευσ(ιν) εὑρὼν νεκρικ(ὴν) κρύπτῃ τάφῳ,
κηδευτὰ νεκροῦ τοῦ κενώσαντος τάφους.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι δώδεκα μάρτυρες οἱ ῾Ρωμαῖοι ξίφει τελειοῦντ(αι)».

῾Ρώμης παλαιᾶς δώδεκα βλαστοὺς λόγε,
τραχηλοτμήτους μάρτυρας δέξαι νέους.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Πέτρος ὁ νέος, τοὺς πόδ(ας) ἐκκοπ(είς), τελειοῦτ(αι)».

'Απροσκόπτως τρέχοντα τὸν θεῖον Πέτρον
ἐζημίωσαν τῶν ποδῶν ἀφαιρέσει.

«Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ σεβασμίου οἴκου τῆς [. . .] Θ(εοτό)κου τοῦ ἐν Βλαχέρναις, ἔνθα ἀπόκειτ(αι) ἡ ἁγία σορός».

ΣΤ' «Μὴν Α ὔ γ ο υ σ τ ο ς. Ἔχει ἡμέρας τριακονταμί(αν)· ἔχει ἡ ἡμέρα ὥρας ιγ' καὶ ἡ νὺξ ὥρας ια'».

α' «Εἰς τὴν πρώτην. Μνήμη τ(ῶν) ἁγ(ίων) Μακκαβαίων [. . .]».

Πρῶτος πρὸ Χ(ριστο)ῦ πῦρ στέγων 'Ελεάζαρ,
ἀθλήσεως προὔθηκε τοῖς ἄλλοις ἴχνη.

Πρώταθλον ἄλλην καὶ πρὸ τῆς Θέκλης ἔχω,
τὴν Σολομων(ὴν) ἣν πρὸ Χ(ριστο)ῦ πῦρ φλέγει.

'Εξ ἑβδόμης πέμπουσι παίδων ἑπτάδα,
ἀρθρέμβολα, πῦρ καὶ τροχοὶ πρὸς ὀγδόην.

Καῦσαν ἐνὶ πρώτῃ Σολομών(ην) αὐγούστοιο.

'Ακολουθεῖ συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Οὗτοι, 'Αντιόχου τοῦ υἱοῦ Σελεύκου τὸ τ(ῶν) 'Εβραί(ων) ὅλον ἔθνος ἐξελόντος καὶ ἀνδραποδισαμένου [. . .]
(φ. 162β) Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρίῳ αὐτῶν τῷ ὄντι ἐν τοῖς Δομνίνου 'Εμβόλοις· καὶ πέραν ἐν τῇ 'Ελαίᾳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγί(ων) ἐννέα μαρτύρων τῶν ἐν Περσίδι τῆς Παμφυλίας ἀθλησάντων· Λεοντίου· 'Αλεξάνδρου· Ἄττου· Κινδαίου· Μνησιθέου· Κυριακοῦ· Μηναίου· Κατούνη καὶ Εὐκλέου».

'Εκ Παμφυλί(ας) ἐννὰς ἐτμήθη ξίφει,
μίαν φυλὴν ζητοῦσα, τὴν τῶν μαρτύρων.

'Ακολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Φλαβιανοῦ Ζωίλου ἡγεμόνος τῆς Παμφυλί(ας)· ἐκ προγόνων ὄντες χριστιανοὶ [. . .]
(φ. 163α) Τελ.: [. . .] τὰς κε(φα)λ(ὰς) ἀπετμήθησ(αν)· καὶ οὕτ(ως) ἐπληρώθ(η) αὐτ(ῶν) ἡ μαρτυρία.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Πάπας ὁ νέος, εἰς σάκκον βληθεὶς καὶ θήβῃ ἐγκλεισθ(εὶς) καὶ εἰς θάλασσ(αν) ῥιφείς, τελειοῦτ(αι)».

Σάκκος Πάπαν ἔκρυψε καὶ σάκκ(ον) θήβη,
καὶ τὴν θήβ(ην) ῥοῦς· καὶ Πάπας Θ(εο)ῦ πέλας.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων μαρτύρων Μίνη καὶ Μηναίου, ξίφει τελειωθέντων».

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μάρτυς Ἐλεάζαρος, πυρὶ τ(ὴν) κε(φα)λ(ὴν) καταφλεχθείς, τελειοῦται».

Καυτηριασθεὶς Ἐλεάζαρος κάραν,
ψυχοβλαβῶν ἀπῆλθε κρείττων ῥευμάτ(ων).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Κήρυκος ξί(φει) τελειοῦτ(αι)».

Τοῦ δημίου φήσαντος, οὐ τμηθῇς θύων,
κλίνας κάραν Κήρυκος, εἶπεν οὐ θύω.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μ(ά)ρ(τυς) Θεόδωρος ξίφει τελειοῦτ(αι)».

Τῷ Θεοδώρῳ θεῖος ἐνσκήπτει πόθος,
τυχεῖν ποθειν(ῶν) δωρεῶν διὰ ξίφ(ους).

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Πολύευκτος, κοπρίᾳ ἐγχωσθείς, τελειοῦτ(αι)».

Ἰὼβ καθέδραν, φημὶ δὴ τὴν κοπρίαν,
ὁ Πολύευκτος εἶχεν εἰς τιμωρί(αν).

Τελεῖτ(αι) (δὲ) ἡ αὐτῶν σύναξις ἐν τοῖς Βιγλ(εν)τίου, πλησίον τοῦ Χαλκοῦ Ἑπταπύλου.

β′ «Μη(νὶ) τῷ αὐτ(ῷ) β′. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου πρωτομ(άρτυ)ρ(ος) καὶ ἀρχιδιακόνου Στεφάνου».

Ἔχεις Σιὼν πάμπολλα θεῖα καὶ ξένα,
νεκρὸν Στεφάνου δὸς πόλει Κωνσταντίνου.
Δευτερίῃ νέκυος Στεφάνου γένετ᾿ ἀνακομιδή.

Ἀκουλουθεῖ (φ. 163α - 164α) ἡ διήγησις τῆς ἀνακομιδῆς (BHG 1651e).

Ἀρχ.: Μετὰ πολλοῦ χρόνου παραδρομ(ὴν) τῆς τοῦ ἁγίου διὰ Χ(ριστὸ)ν μαρτυρίας [. . .] (φ. 164α) Τελ.: [. . .] καὶ παραχρῆμα ἐν αὐτῷ τῷ τόπῳ σεβάσμιον ἐγείρει τῷ πρωτάθλῳ ναόν· [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρίῳ τῷ ὄντι πλησίον Κωνσταντιανῶν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ εὕρεσις τ(ῶν) λειψάνων τῶν ἁγί(ων) μαρτύρων, Μαξίμου· Δάδα καὶ Κιντιλιανοῦ».

(φ. 164β) Τρεῖς ἐκφέρουσα γῆ νεκροὺς ζωηφόρους,
πόλῳ λέγ(ειν) ἔοικε, σὺ κρύψ(ας) ἔχε.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· ἐν Δοροστόλῳ τῇ πόλει, ἐν τῇ χώρᾳ τῆς Δευτέρας Μυσίας [. . .]

Τελ.: [. . .] ἃ (καὶ) νῦν κατάκειντ(αι) ἐν τῷ οἴκῳ τῆς [. . .] Θ(εοτό)κου ἐν τ(οῖς) Βιγλ(εν)τίου· ἔνθα ἡ αὐτ(ῶν) τελεῖτ(αι) σύναξις.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) τελοῦντ(αι) τὰ ἐγκαίνια τοῦ θείου ναοῦ τοῦ ἁγίου ἀποστό-λ(ου) Ἰω(άννου) καὶ εὐαγγελιστοῦ παρθ(έ)ν(ου) τοῦ Θεολόγ(ου)· πλησίον τῆς ἁγιωτ(ά)τ(ης) μεγάλ(ης) ἐκκλησίας. Καὶ μνήμη τοῦ ἁγίου μ(άρτυ)ρ(ος) Φωκᾶ (καὶ) τ(ῶν) ἐν Ἐφέσῳ ἑπτὰ παίδων· (καὶ) τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενο-μ(έν)ου βα(σιλέως) Ἰουστινιανοῦ ἐν τοῖς ἁγίοις Ἀποστόλοις».

γ' «Μη(νὶ) τῷ αὐτ(ῷ) γ'. Μνήμη τ(ῶν) ὁσί(ων) π(ατέ)ρων ἡμ(ῶν) Δαλμάτου· Φαύστου (καὶ) Ἰσακίου».

Κυκλοῦσιν ἄνδρες εἷς· δύο· τρεῖς σὸν θρόνον,
Ὕψιστε, Φαῦστος, Ἰσάκιος, Δαλμάτος.
Δαλμάτος, Ἰσάκιος τριτάτῃ θάνον ἠδέ τε Φαῦστος.

Ἀκολουθεῖ συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Οὗτος ὁ ἅγιος Δαλμάτος ἐστρατεύετο ἐν τῇ δευτέρᾳ σχολῇ ἐπὶ Θεοδοσίου τοῦ βασι-λέως [. . .]
(φ. 165α) Τελ.: [. . .] ἐν Χ(ριστ)ῷ κοιμηθείς, κατατίθεται ἐν τῷ ἰδίῳ μοναστηρίῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Στεφάνου πάπα Ῥώμης καὶ τῶν σὺν αὐτῷ».

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Οὐαλλερίνου καὶ Γαληίνου τῶν ὑπάτ(ων) ἐν τῇ Ῥωμαίων πόλει [. . .]
Τελ.: [. . .] ἀποτέμνεται τὴν κεφαλήν, τῶν στρατιωτ(ῶν) ζητησάντ(ων) καὶ εὑρόντ(ων) αὐτόν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ ὁμολογητοῦ Ἰω(άν-ν)ου ἡγουμένου μονῆς τῆς Πατελαρέ(ας)».
«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία μυροφόρος Σαλώμη ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Τῆς σαρκὸς οἷον ἐκκυλισθείσης λίθου,
ὁρᾷ Σαλώμη Χ(ριστό)ν, οὐ Χ(ριστο)ῦ τάφον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος ἀπό(στολος) Κούαρτος ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Ἀποστολῆς Κούαρτε πληρώσας δρόμον,
πρὸς τὸν διεκπέμψαντα τείνεις τὸν δρόμον.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ὁσία Θεοκλητὼ ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Θεοκλητὼ τ(ὴν) κλῆσ(ιν) ἔργῳ δεικνύει,
κλητὴ Θ(ε)ῷ φανεῖσα σαρκὸς ἐκδύσει.

δ' «Μη(νὶ) τῷ αὐτ(ῷ) δ'. Ἡ ἀνακομιδὴ τῶν λειψάνων τῆς ἁγί(ας) ὁσιομάρτυρος Εὐδοκί(ας)».

Ὀσμή· τί τοῦτο; σῶμα τῆς Εὐδοκίας,
ἀθλητικῶν ἀπόζον ἥκει χαρίτων.
Πότνια Εὐδοκίη νεκρὰ ἤχθη ἀμφὶ τετάρτῃ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Ἴας».

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

(φ. 165β) Ἀρχ.: Αὕτη ἡ ἁγία μάρτυς Ἴα Ῥωμαία ἦν· ἐξ ἀνατολῶν ὁρμωμένη [...]
Τελ.: [...] καὶ ὡς εἶδον ταύτ(ην) ἡμιθανῆ καὶ ἄλαλον, ἀπέτεμον τὴν κε(φα)λ(ὴν) αὐτ(ῆς).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἐλευθέριος ὁ κουβικουλάριος ξίφει τελειοῦται».

Ἐλευθέριος οὐχ ὑπέπτηξε ξίφος,
ἐλεύθερον γ(ὰρ) εἶχε νοῦν παντὸ(ς) φόβου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος μ(ά)ρ(τυς) Θαθουήλ, ἐν μηλέᾳ κρεμασθείς, τελειοῦται».

Θνῆσκε κρεμασθείς, Θαθουὴλ ἐν μηλέᾳ,
ὡς ἂν τρυγήσῃς τῆς Ἐδὲμ μῆλα ξένα.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) τελοῦντ(αι) τὰ ἐγκαίν(ια) τοῦ περικαλλοῦς καὶ θείου ναοῦ τῆς βασιλικῆς καὶ παντοκρατορικ(ῆς) μον(ῆς) τοῦ Παντοκράτορος Χ(ριστο)ῦ τοῦ Θ(εο)ῦ ἡμῶν».

Ἀκολουθεῖ ἔμμετρον χρονικὸν ἀνωνύμου, ἀποτελούμενον ἐξ ἑκατὸν τεσσαράκοντα τεσσάρων (144) ἰαμβικῶν δωδεκασυλλάβων στίχων περὶ τῆς κτίσεως τῆς Μονῆς Παντοκράτορος ἐν Κωνσταντινουπόλει παρὰ τοῦ αὐτοκράτορος Ἰωάννου [Β' Κομνηνοῦ] (1118-1143) καὶ τῆς συζύγου του [Εἰρήνης τῆς Οὐγγαρίας· † 13 Αὐγ. 1134][1].

Ἀρχ.: Ἐκ τ(ῶν) πρὸ πολλ(ῶν) τ(ῶν) λόγ(ων) τ(ὴν) μ(ητέ)ρα,
χρυσᾶς Ἀθήνας τ(ὴν) περίφημον πόλ(ιν),
στοά τ(ις) ἤδη ποικίλως κοσμουμ(έν)η,
γραφ(ῶν) ἐκαλλώπιζ(εν) ἐξῃρημένην,
. . . .

(φ. 166β) Τελ.: . . . .
ἡμᾶς δ' ἀχρείους οὕσπερ οἶδ(ας), ἰσχύσας,
ὀρθὰς βαδίζ(ειν) εὐόδωσ(ον) πρὸ(ς) τρίβους·
σὺν π(ατ)ρὶ (καὶ) πν(εύματ)ι· σοὶ δόξα πρέπει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου μ(ά)ρ(τυρ)ος Προκοπίου, πλησίον τῆς Χελώνης».

ε' (φ. 167α) «Μη(νὶ) τῷ αὐτ(ῷ) ε'. Μνήμη τοῦ ἁγίου μ(άρτυ)ρ(ος) Εὐσιγνίου».

Εὐσίγνιον τέμνουσι τ(ὸν) Χ(ριστο)ῦ φίλον,
τομῆς μέχρι φράζοντα[2] Χ(ριστό)ς μοι σέβ(ας).
Πέμπτῃ Εὐσιγνίοιο κάρη κονίῃσιν ἐμίχθη.

1. Ἔχει ἐκδοθῆ ὑπὸ Μητροπ. πρ. Λεοντοπόλεως Σωφρ. Εὐστρατιάδου, *Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας*, [Ἀθῆναι 1960], σ. 477-478.

2. Ἐν τῇ ᾤα, δεξιά, διὰ χειρὸς τοῦ κωδικογράφου: *γρ(άφε) (καὶ) κράζοντα.*

᾿Ακολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

῎Αρχ.: Οὗτος ἦν τὸ γένος ᾿Αντιοχεύς· στρατιώτης γεγονὼς ἐπὶ Κώνσταντος τοῦ Χλωροῦ [. . .]
Τελ.: [. . .] ξίφει τ(ὴν) κε(φα)λ(ὴν) ἀποτμηθῆναι προσέταξε· καὶ οὕτ(ως) ἐπληρώθη αὐτοῦ ἡ ἐν Χ(ριστ)ῷ μαρτυρία.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι δύο μάρτ(υ)ρ(ες) Καττίδιος (καὶ) Καττιδιανός, λιθοβοληθέντες, τελειοῦντ(αι)».

Βουνοὺς λίθων ἔστησαν ὑψηλοὺς λόγε,
δι' ὧν ἀνῆλθον πρὸ(ς) σὲ σύγγονοι δύο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ἡ ἁγία Νόννα, ἡ μ(ήτ)ηρ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγ(ου), ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Νόννῃ θανούσῃ τῇ καλῇ, καλὸς γόνος
καλὸν δίδωσιν ἐντάφιον, τοὺς λόγους.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Σόβελ ὁ Αἰγύπτιος, βέλει ἀπὸ τόξου βληθείς, τελειοῦτ(αι)».

῏Αν συλλαβισθῇς ἐξόπισθεν, ὦ Σόβελ,
βέλος συνάξεις, ὄργανον τοῦ σοῦ τέλ(ους).

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Φάβιος, ἀρχιεπίσκοπος ῾Ρώμης, ξί(φει) τε(λειοῦται)».

Κεῖται Φάβιος· Φάβιος Χ(ριστο)ῦ θύτης,
Χ(ριστ)ῷ προσαχθείς, θῦμα καινὸν ἐκ ξίφους.

ς' «Μη(νὶ) τῷ αὐτ(ῷ) ἕκτῃ. [῾Η Μεταμόρφωσις τοῦ Σωτῆρος Χριστοῦ. BHG 1984]

Θαβὼρ ὑπὲρ πᾶν γῆς ἐδοξάσθη μέρος,
ἰδὸν Θ(εο)ῦ λάμψασαν ἐν δόξῃ φύσιν.
Μορφ(ὴν) ἀνδρομέ(ην) κατὰ ἕκτην Χ(ριστὸ)ς ἄμειψεν.

᾿Ακολουθεῖ σύντομος διήγησις περὶ τῆς ἑορτῆς.

῎Αρχ.: ᾿Επειδὴ πολλὰ περὶ κινδύν(ων) ὁ Χ(ριστὸ)ς διειλέχθη πρὸς τοὺς μαθητάς· καὶ θανάτου καὶ τοῦ πάθους αὐτοῦ [. . .]
(φ. 167β) Τελ. [. . .] ὅτι καὶ θανάτου (καὶ) ζωῆς αὐτός ἐστιν ὁ ἔχων πᾶσαν τὴν ἐξουσίαν.

ζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ζ'. Μνήμη τοῦ ἁγ(ίου) ὁσιομ(άρτυ)ρ(ος) Δομετίου τοῦ Πέρσου· καὶ (τῶν) δύο αὐτ(οῦ) μαθητ(ῶν)».

῾Υπὲρ τὰ πάντα σοὶ συναθλ(εῖ)ν ἐκ λίθων,
μύστας π(άτ)ερ σοὺς ἐξεπαίδευσας τάχα.
Σὺν δυσὶν ἑβδομάτῃ Δομέτιος ἐλεύσθη μύσταις.

᾿Ακολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

῎Αρχ.: Οὗτος ἦν κατὰ τοὺς καιροὺς τοῦ Μεγάλου Κωνσταντίνου· Πέρσ(ης) τὸ γένος [. . .]
(φ. 168α) Τελ.: [. . .] Δομέτιον καὶ τοὺς σὺν αὐτῷ δύο κατέχωσαν· τελεῖτ(αι) (δὲ) ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτ(ά)τ(ῳ) αὐτῶν μαρτυρίῳ τῷ ὄντι πέρ(αν) ἐν ᾿Ιουστινιαναῖς.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομ(ένων) βασιλισσ(ῶν) ἡμῶν Πουλχερί(ας) καὶ Εἰρήνης· τελεῖτ(αι) (δὲ) ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτ(ά)τ(ῳ) ναῷ τ(ῶν) ἁγίων Ἀποστόλων».

«Ἐν ταύτῃ οὖν τῇ ἡμέρ(ᾳ), (καὶ) εἰς τὰς αὐτὰς ἡμέρ(ας) τοῦ μηνός, μνήμην ἐπιτελοῦμ(εν) τῆς ὑπὲρ λόγον καὶ παρὰ πᾶσαν ἐλπίδα δωρηθείσης ἡμῖν τελεί(ας) βοηθεί(ας) παρὰ Χ(ριστο)ῦ [. . .] κατὰ τ(ῶν) πανταχόθεν διά τε γῆς καὶ θαλάσσης κυκλωσάντ(ων) ἡμᾶς ἀθέων ἐχθρῶν· μεσιτευσάσης τὴν σ(ωτη)ρί(αν) τ(ῆς) θεοφυλάκτου ταύτης (καὶ) βασιλίδος πόλεως τῆς ἀσπόρως αὐτὸν τεκούσης [. . .] Θ(εοτό)κου καὶ ἀειπαρθένου Μαρί(ας)» (BHG 1063 b).
Ἀκολουθεῖ (φφ. 168α - 169α) διήγησις περὶ τοῦ συμβάντος.

Ἀρχ.: Τοῦτο (δὲ) γέγονε κ(α)τ(ὰ) τ(οὺς) χρόν(ους) Ἡρακλείου τοῦ βασιλέως· ὅτε Χοσρόης ὁ τῶν Περσ(ῶν) βασιλεὺς [. . .]
(φ. 169α) Τελ.: [. . .] Διὰ ταῦτα τὴν παροῦσαν ἀνάμνησιν ἐτησίως πανηγυρίζομ(εν) ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ τῷ ὄντι ἐν Βλαχέρναις.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσ(ιος) Ὦρ ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Ἐκ γῆς ἀπελθὼν Ὦρ ἐμός, λέγει, χάρις
ὑπὲρ τ(ὸν) Ὦρ πέφυκε τὸν σόν, ὦ νόμε.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ὅσιοι μύριοι ἀσκητ(αὶ) οἱ Θηβαῖοι ἐν εἰρήνῃ τελειοῦντ(αι)».

Γῆς ἐξελαύνεις, εἰ τὸ[1] Δα(βὶ)δ χρὴ λέγειν,
τὸ μυριοπλάσιον ἅρμα σου λόγε.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ὁσία Ποταμία ἡ θαυματουργὸ(ς) ξίφει τελειοῦτ(αι)».

Ὑπὲρ Θ(εο)ῦ κτανθεῖσα θαυμαστοῦ ξίφει,
ῥέει ποταμοὺς θαυμάτ(ων) Ποταμία.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιο(ς) Νάρκισσος, π(ατ)ριάρχης Κωνσταντινουπόλ(εως), ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ἡδὺ πνέων Νάρκισσε ναρκίσσου πλέον,
εὐωδιάζεις τ(ῆς) Ἐδὲμ τὸ χωρίον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Ἀστέριος ὁ συγκλητικὸς ξίφει τελειοῦτ(αι)».

Τράχηλον Ἀστέριος ἐκκοπεὶς ξίφει,
χοροῖς ἀθλητ(ῶν) οἷον ἀστὴρ ἐμπρέπει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Ὑπερέχιος ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ὑπερέχιος κἂν τάφῳ κατεκρύβη,
ὑπέρτερος πέφυκε καὶ τῶν ἀγγέλων.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Σώζων ὁ ἐκ Νικομηδεί(ας), εἰς πῦρ βληθεὶς (καὶ) ἐξελθ(ὼν) ἀβλαβής, τελειοῦτ(αι)».

1. τό: τῶ cod.

Ὑπῆρχεν ἄλλη σαλαμάνδρα πρὸς φλόγα,
Σώζων ὁ μάρτυς οὗ τέλος πυρὸς δίχα.

η' «Μη(νὶ) τῷ αὐτ(ῷ) η'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Αἰμιλιανοῦ ἐπισκόπου Κυζίκου».

Ψυχῆς πολὺν θεὶς Αἰμιλιανὸς λόγον,
τῆς σαρκὸς ἠλόγησ(εν) ἄχρι καὶ τέλους.
Ὀγδόῃ Αἰμιλιανοῦ ὀστέα δέξατ' ἄρουρα.

Ἀκολουθεῖ συντομώτατον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος διὰ τὰς τιμί(ας) καὶ ἁγί(ας) εἰκόνας πολλὰς ὑπομείν(ας) κακώσεις [. . .]
Τελ.: [. . .] τὸν στέφανον τῆς ὁμολογί(ας) δεξάμενος, ἐκοιμήθη ἐν Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγ(ίου) Μύρωνος, ἐπισκόπου Κρήτης τοῦ θαυματουργοῦ».

Μύρων ὁ θεῖος ἀρετῆς μύρον πνέων,
εὐωδί(ας) πρόσεισιν ὀσμὴ Κ(υρί)ῳ.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος γεννᾶτ(αι) ἐν Ῥαυκίᾳ τῇ πόλει τῇ κατὰ Κρήτ(ην), πλησίον Κνωσσοῦ [. . .]
(φ. 169β) Τελ.: [. . .] ἤδη περὶ τὰ ἑκατὸν γενόμενος ἔτη, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θεοδοσίου ἡγουμένου Ὀρόβων».

Ἀκολουθεῖ συντομώτατον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὃς ἐξ ἁπαλῶν ὀνύχων καὶ ἐξ αὐτ(ῶν) τῶν σπαργάν(ων) τὸν στ(αυ)ρὸν [. . .]
Τελ.: [. . .] θυμίαμα δεκτὸν προσενεχθεὶς τῷ Κ(υρί)ῳ, ἐν εἰρή(νῃ) τελειοῦτ(αι).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγί(ων) μαρτύρων Ἐλευθερίου καὶ Λεωνίδους τ(ῶν) νηπίων, διὰ πυρὸς τελειωθέντων. Τελεῖτ(αι) (δὲ) ἡ αὐτ(ῶν) σύναξις ἐν τῷ οἴκῳ τῆς ἁγί(ας) Εἰρήνης, πέρ(αν) ἐν Ἰουστινιαν(αῖς)».

Ἀμφοῖν ἀθλητ(ῶν) οὐ θυόντ(ων) τῇ πλάνῃ,
ποινὴν κατακρίνουσ(ιν) οἱ πλάνοι, φλόγα.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι δέκα ἀσκηταὶ οἱ ἐξ Αἰγύπτου ἐν εἰρήνῃ τελειοῦντ(αι)».

Βλαστήματα θνήσκουσιν Αἰγύπτου δέκα,
πληγαῖς ἐκείνης ἰσάριθμα ταῖς δέκα.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι δύο μάρτ(υ)ρ(ες), κατὰ γῆς συρόμενοι, τελειοῦντ(αι)».

Ζεῦγος τρίβει γῆν, οὗ ῥυμὸς Θ(εο)ῦ φόβος,
ζεύγλη (δὲ) πίστις καὶ τροχοὶ προθυμία.

(φ. 170α) «Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἐγκαινί(ων) τ(ῶν) ἁγί(ων) ἀποστό-λ(ων) Πέτρου (καὶ) Παύλ(ου)· ἐν τῷ περ⟨ι⟩τειχίῳ τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου παρθένου τοῦ Θεολόγου· ἔνδον τοῦ σεπτοῦ οἴκου τῆς ὑπεραγί(ας) Θ(εοτό)κου ἐν τοῖς Μαρινακίου. Καὶ τοῦ ὁσίου Κασσιανοῦ. Καὶ

ἡ ἀνάμνησ(ις), ὅτε ἐγένετο ἡ τοῦ ἡλίου ἔκλειψις ἀπὸ ὥρας ἕκτης ἕως ὥρ(ας) ἐνάτ(ης), ὥστε καὶ τοὺς ἀστέρας φανῆναι· ἐν ἔτει ἑξακισχιλιοστῷ τριακοσιοστῷ ἐνενηκοστῷ ἐνάτῳ [=890/91 σωτήριον ἔτος]· ἐν ἡλίου κύκλῳ πεντεκαιδεκάτῳ· καὶ σελήν(ης) ὁμοί(ως)· ἰδικτιῶν(ος) ἐνάτ(ης)· ἐπὶ τῆς βασιλεί(ας) Λέοντος καὶ Ἀλεξάνδρου τῶν εὐσεβ(ῶν) καὶ φιλοχρίστων βασιλέ(ων)».

θ′ «Μη(νὶ) τῷ αὐτ(ῷ) θ′. Μνήμη τοῦ ἁγ(ίου) ἀποστόλ(ου) Ματθία».

Ἐξῆλθεν ἀρθεὶς Ἰούδας ἐπὶ βρόχου,
εἰσῆλθ(εν) ἀρθεὶς Ματθίας ἐπὶ ξύλου.
Ἤρθη ἀμφ' ἐνάτῃ [ξύλῳ] ἠΐθεος Ματθίας.

Ἀκολουθεῖ συντομώτατον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος εἷς ἦν τῶν ἑβδομήκοντα· ὃς καὶ συγκατηριθμήθη μετὰ τῶν ἕνδεκα ἀποστόλων [. . .]
Τελ.: [. . .] ὑπ' αὐτῶν αἰκισθείς, τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρέθετο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγί(ων) δέκα μαρτύρων, τ(ῶν) διὰ τὴν ἁγί(αν) εἰκόνα τοῦ [. . .] Ἰ(ησο)ῦ Χ(ριστο)ῦ τὴν ἐν τῇ Χαλκῇ Πύλῃ ἀθλησάντων· Ἰουλιανοῦ· Μαρκιανοῦ· Ἰωάννου· Ἰακώβου· Ἀλεξίου· Δημητρίου· Φωτίου· Πέτρου· Λεοντίου καὶ Μαρίας τῆς π(ατ)ρικί(ας)».

Ἐχθρ(ὸν) Θ(εο)ῦ κτείναντες ἄνδρες ἐννέα,
φίλοι γίνοντ(αι) τῷ Θ(ε)ῷ διὰ ξίφους.

Ἐμοῦ τραχήλου σ(ῶτ)ερ αἷμα προσδέχου,
Μαρία φησίν, ὡς τὸ Μαρίας μύρον.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι ἐπὶ Λέοντος τοῦ θηριωνύμου ἐγνωρίζοντο [. . .]
(φ. 170β) Τελ.: [. . .] ξίφει ἀναιρεθῆναι ἐν τῷ Κυνηγίῳ σὺν τῇ ἁγίᾳ Μαρίᾳ τῇ πατρικίᾳ καὶ ῥιφῆναι ἐν τοῖς Πελαγίου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Ψόης εὐχόμ(εν)ο(ς) τελειοῦτ(αι)».

Μάστιξιν εὐχῶν κἂν τέλει βίου Ψόης,
καίει νοητὰς δαιμόνων δεινῶν ψόας.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἀντωνῖνος ὁ Ἀλεξανδρεὺς πυρὶ τελειοῦτ(αι)».

Ἀντωνίνου τὸ σῶμα κἂν σποδῶν γέμῃ,
τὸ πν(εῦμ)α λαμπρότητος εὐμοιρεῖ ξένης.

Ἀκολουθεῖ συντομώτατον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος Ἀντωνῖνος Ἀλεξανδρεὺς ἦν τὸ γένος· συλληφθεὶς δὲ ὑπὸ τοῦ ἄρχοντος [. . .]
Τελ.: [. . .] μέχρι τριχὸς λυμηναμένης αὐτὸν τῆς φλογός.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ εὕρεσ(ις) τῆς ἀχειροποιήτ(ου) καὶ θεί(ας) εἰκόνος τ(ῶν) Καμουλιαν(ῶν)· συγγραφεῖσα παρὰ [. . .] Γρηγορίου ἐπισκόπου Νύσσης» (BHG 790).

Ἀκολουθεῖ (φφ. 170β - 171β) τὸ σχετικὸν κείμενον.

Ἀρχ.: Ὁ Κ(ύριο)ς ἡμ(ῶν) Ἰ(ησοῦ)ς Χ(ριστό)ς, ὁ δίκαιος καὶ μόνος ἀληθινὸς Θ(εὸ)ς ἡμ(ῶν), ὁ τῇ οὐσίᾳ τῆς θεότητος ἀόρατος [. . .]
(φ. 171β) Τελ.: [. . .] ἐπὶ μ(ὲν) τῆς βασιλεί(ας) Διοκλητιανοῦ γενομέν(ης) καὶ ἀποκρυβείσης τῆς ἀχράντου καὶ ἀχειροποιήτου εἰκόνος· ἐπὶ (δὲ) Θεοδοσίου τοῦ Μεγάλου φανερωθείσης καὶ θαυματουργούσης· εἰς δόξαν τοῦ μονογενοῦς Υἱοῦ [. . .] ἀμήν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Κωνσταντίνου ἀρχιεπισκόπ(ου) || (φ. 172α) τῆς βασιλίδος πόλεως· τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτ(ά)τ(ῃ) μεγ(ά)λ(ῃ) ἐκκλη(σί)ᾳ ἐν ἡμέρ(ᾳ) Κυριακῇ».

ι′ «Μη(νὶ) τῷ αὐτ(ῷ) ι′. Μνήμη τῶν ἁγί(ων) μαρτύρων Λαυρεντίου· Ξύστου καὶ Ἱππολύτου».

Τὸν Λαυρέντιον λάβρακα[1] Χ(ριστο)ῦ λέγω,
ἐπ' ἐσχάρας ἄνθραξιν ἐξωπτημένον.

Τέλους ἀθλητ(ῶν) καὶ κλέους τυχ(εῖν) θέλων,
ἤθλησας ἆθλον, Ξύστε, τὸν διὰ ξίφους.

Τὸν Ἱππόλυτον ἱπποδέσμιον βλέπω,
ἐναντίον πάσχοντα τῇ κλήσει πάθο(ς).

Ὤπτησαν δεκάτῃ Λαυρέντιον ἠύτε ἰχθύν.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι κατὰ τοὺς καιροὺς Δεκίου γεγόνασι· καὶ ὁ μ(ὲν) ἅγιος Ξύστος ἐξ Ἀθην(ῶν) ὑπῆρχεν [. . .]
(φ. 172β) Τελ.: [. . .] τοῦτο (δὲ) δῆλον γέγονε καθ' ὅλ(ην) τὴν οἰκουμένην· καὶ πάντες ἐστερεώθησαν τῇ πίστει τοῦ [. . .] Χ(ριστο)ῦ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι ἓξ μάρτυρες οἱ ἐν Λιβύῃ· οἱ μ(ὲν) τὰ ὀστᾶ θλασθέντες, οἱ δὲ τὰς σάρκας ξεσθέντες, πυρὶ τελειοῦντ(αι)».

Ὀστῶν καταγμὸς (καὶ) σπαραγμὸ(ς) σαρκίων,
ἁρπαγμός ἐστιν ἀθλητ(ῶν) ἓξ στεμμ(ά)τ(ων).

ια′ «Μη(νὶ) τῷ αὐτ(ῷ) ια′. Μνήμη τοῦ ἁγίου μεγαλομάρτυρος Εὔπλου».

Ἐκ τῆς στολῆς μ(ὲν) σεπτὸς Εὔπλος λευΐτης,
ἐκ τῆς τομῆς (δὲ) στερρὸ(ς) ὄντως ὁπλίτης.
Πλήγῃ ἑνδεκάτῃ ξίφει Εὔπλος κωπήεντι.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως, ἐκ πόλεως Κατάν(ης) τ(ῆς) Σικελῶν ἐπαρχίας [. . .]
Τελ.: [. . .] (καὶ) αὖθις τῇ τοῦ ξίφους τιμωρίᾳ κατεδικάσθη.

1. λάβρακα: λάρνακα cod.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) τελοῦντ(αι) τὰ ἐγκαίνια τοῦ σεβασμίου καὶ περικαλλοῦς οἴκου καὶ θείου ναοῦ τῆς [. . .] Θ(εοτό)κου τῆς Ἐλεούσης· τὸ (δὲ) διὰ στίχων συναξάριον ἐγράφη εἰς τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ Παντοκράτορος τῷ αὐτ(ῷ) μηνὶ τετάρτῃ».

«Τῇ αὐτ(ῇ) ἡμέρᾳ διήγησις περὶ εἰκόνος δεσποτικῆς ἀχειροποιήτου».
Ἀκολουθεῖ (φφ. 172β - 174α) ἡ σχετικὴ διήγησις (BHG 792).

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Τιβερίου τοῦ βασιλέως θαῦμα μέγα καὶ παράδοξον γέγονε [. . .] (φ. 174α) Τελ.: [. . .] ἀπολαύουσαι τὴν μηδέποτε λήγουσαν ἀΐδιον χαράν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) διήγησ(ις) ἑτέρ(ας) ἀχειροποιήτου δεσποτικ(ῆς) ἁγί(ας) εἰκόν(ος)».

Ἀκολουθεῖ ἡ σχετικὴ διήγησις (BHG 796i).

Ἀρχ.: Εἰπέ τις τῶν ἀρχαί(ων) ἐκκλησι(ῶν) ἱστοριογράφων περὶ δεσποτικ(ῆς) ἀχειροποιήτου εἰκόνος· ὅτι ἐν τῷ μέλλειν τὸν Κ(ύριο)ν ἡμ(ῶν) [...] ἐπὶ τὸ ἑκούσιον πάθος ἐλθ(εῖν) [. . .] Τελ.: [. . .] ἀπειράστ(ως) καὶ ἀκινδύνως διῆλθε τὸν βίον αὐτοῦ· εἰς δόξαν Χ(ριστο)ῦ τοῦ Θ(εο)ῦ ἡμῶν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τ(ῶν) ἁγίων μαρτύρων· Νεοφύτου· Ζήνωνος· Γαΐου· Μάρκου· Μακαρίου καὶ Γαϊανοῦ· διὰ πυρὸς τελειωθέντων· τελεῖτ(αι) δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἐξαέρῳ οἴκῳ τ(ῶν) ἁγί(ων) [. . .] Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ ἐν τοῖς Δαρείου».

Νεοφύτῳ, Ζήνωνι σὺν τῷ Γαΐῳ,
στρωμνή τις ἡ κάμινος ἧς κεῖντ(αι) μέσον.

Ὤφθησ(αν) ὀσμὴ θυμιαμάτων ξένη,
τρεῖς ζωόκαυστοι μάρτυρ(ες) τῇ Τριάδι.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Πασσαρίων ἐν εἰρήνῃ τελειοῦται».

(φ. 174β) Ὁ Πασσαρί(ων) πᾶσαν ἀρετ(ὴν) φέρων,
πασῶν ἀμοιβάς, γ(ῆς) ἀποστάς, λαμβάνει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Ἥρων ὁ φιλόσοφος ἐν εἰρή(νῃ) τελειοῦται».

Θανὼν σοφιστὴς ἐστεφανώθη κάραν,
πλάνης σοφιστοῦ συντριβῇ δοὺς τ(ὴν) κάρ(αν).

ιβ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιβ'. Μνήμη τ(ῶν) ἁγ(ίων) μαρτύρων Φωτίου (καὶ) Ἀνικήτου».

Πῦρ Ἀνίκητον συμφλέγει τῷ Φωτίῳ,
οὓς φωτὸς οἶκος ὡς ἀνικήτους φέρει.
Πῦρ κατὰ δωδεκάτην κτάνε Φώτιον ἠδ' Ἀνίκητον.

Ἀκολουθεῖ (φφ. 174β - 175α) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βα(σιλέως)· ὁ (δὲ) ἅγιος Φώτιος ἦν ἀδελφιδοῦς τοῦ ἁγίου Ἀνικήτου [. . .]

(φ. 175α) Τελ.: [. . .] μη(δὲ) τριχὸς μέχρι τῆς φλογὸ(ς) αὐτοὺς λυμηναμένης· τελεῖτ(αι) (δὲ) ἡ αὐτ(ῶν) σύναξις ἐν τῷ ἁγιωτ(ά)τ(ῳ) αὐτῶν μαρτυρίῳ τῷ ὄντι ἐν τῷ Στρατηγίῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Παλάμων ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Ψυχ(ὴν) Παλάμων παλάμαις Θ(εο)ῦ δίδως,
ἄληπτος ὀφθεὶς παλάμαις ψυχοφθόρου.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) οἱ ἅγιοι δώδεκα μάρτυρες οἱ ἀπὸ στρατιωτ(ῶν) ξίφ(ει) τελειοῦντ(αι)».

Ἀριθμὸς ἀθλεῖ μαρτύρων διὰ ξίφους,
Χ(ριστο)ῦ μαθητ(αῖς) ἰσάριθμος ἐκκρίτ(ως).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Κάστωρ ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

Θεία θρυαλλὶς σβέννυται Κάστωρ μέγας,
λείψαντος εἰς φῶς ὡς ἐλαίου τοῦ βίου.

ιγ΄ «Μη(νὶ) τῷ αὐτ(ῷ) ιγ΄. Ἡ μετάθεσις τοῦ λειψάνου τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μαξίμου τοῦ ὁμολογητοῦ».

Κινοῦσί σου Μάξιμε πιστοὶ τ(ὴν) κόνιν,
δηλοῦντ(ες) ὡς ζῇς, ἐξαμείβ(ων) κ(αὶ) τόπ(ους).
(φ. 175β) Μαξίμου ἀμφὶ τρίτ(ην) νεκρὸν δεκάτην μεταθῆκαν.

Τὸ συναξάρ(ιον) τούτου ἐγρά(φη) ἰαννουαρίῳ εἰκοστῇ πρώτῃ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι μάρτ(υ)ρ(ες) Πάμφιλος καὶ Καπίτων ξίφει τελειοῦντ(αι)· τελεῖτ(αι) (δὲ) ἡ αὐτ(ῶν) σύναξις ἐν τῷ μαρτυρίῳ τῆς ἁγί(ας) Εὐφημί(ας) ἐν τοῖς Ὀλυμβρίου».

Οἱ κείμενοι γῇ κ(αὶ) λύθρῳ πεφυρμένοι,
ξίφος μετῆλθον, Πάμφιλος (καὶ) Καπίτων.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ὅσιοι Σέργιος καὶ Στέφανος, εἰς τὸν μῶλον ἐμβληθέντ(ες), ἐν εἰρήνῃ τελειοῦντ(αι)».

Ἴσων ἱδρώτων Σεργίῳ καὶ Στεφάνῳ,
ἴσοι στέφανοι· καὶ γ(ὰρ) οὕτω τὸ πρέπον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἁγία Εὐδοκία ἡ βασίλισσα, ἐν τοῖς ἁγίοις Ἀποστόλ(οις), ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Νῦν σ(ῶτ)ερ ἢ πρ(ὶν) προσφόρ(ως) τῷ π(ατ)ρί σου
ἔμπροσθεν εἴπῃς, Εὐδοκία σοῦ π(άτ)ερ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῆς) ἀοιδίμου καὶ παμμακαρίστου βασιλίσσ(ης) καὶ κτητορίσσ(ης) τ(ῆς) σε(βασμίας) μον(ῆς) τοῦ Παντοκράτ(ο)ρο(ς) Σ(ωτῆ)ρ(ο)ς Χ(ριστο)ῦ Εἰρήν(ης)· τῆς διὰ τοῦ ἀγγελικοῦ καὶ ἁγίου σχήματος μετονομασθείσ(ης) Ξένης μοναχῆς».

᾿Ακολουθεῖ διήγησις (φφ. 175β - 177α) περὶ τῆς κτίσεως τῆς ἐν Κωνσταντινουπόλει Μονῆς τοῦ Παντοκράτορος παρὰ τῆς βασιλίσσης Εἰρήνης, συζύγου τοῦ αὐτοκράτορος ᾿Ιωάννου Β' τοῦ Κομνηνοῦ (1118 - 1143· πρβλ. καὶ ἀνωτέρω, σελ. 131, Αὐγ. 4).

῎Αρχ.: ῎Εδει τὴν μεγίστην ταύτην καὶ ὑπερκειμέν(ην) τῶν πόλεων, μὴ κάλλει μόνον ἔργων φθορᾷ χρόνου παραδεδομ(ένων) κομᾶν [. . .]

(φ. 177α) Τελ.: [. . .] καὶ αὐτὸς ὁ εὐσεβέστατος καὶ ἀοίδιμος βασιλεὺς ᾿Ιωάννης, μετ' οὐ πολὺ τ(ὴν) ἐπίγειον βασιλεί(αν) ἀποθέμ(εν)ο(ς), πρὸς τὸν ἐν οὐ(ρα)νοῖς μεταβαίνει δεσπότην καὶ βασιλέα· τὸ σῶμα τούτου κατατεθὲν ἐν τῇ παρ' αὐτοῦ λαμπρυνθείσῃ βασιλικῇ καὶ παντοκρατορικῇ μονῇ· εἰς δόξαν [. . .] ἀμήν.

ιδ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιδ'. Μνήμη τοῦ ἁγίου προφήτου Μιχαίου».

᾿Εκ γῆς μὲν ἤρθην, εἰ δὲ καὶ πόλον φθάσω,
χάρ(ιν) Μιχαί(ας) εἴσομαί σοι τῷ ξύλῳ.
Μιχαί(ας) δεκάτ(ῃ) ξύλῳ ἤρθη ἠδὲ καὶ τετάρτῃ.

᾿Ακολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

῎Αρχ.: Οὗτος εἷς τ(ῶν) ἓξ καὶ δέκα προφητ(ῶν) ἦν· ἐκ φυλ(ῆς) ᾿Εφραὶμ [. . .]
Τελ.: [. . .] καὶ ὑπὸ τῶν συγγενῶν αὐτοῦ ἐτάφη ἐντίμ(ως).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγ(ίου) ἱερομάρτ(υ)ρ(ος) Μαρκέλλου ἐπισκόπου ᾿Απαμείας».

Κνίσσαις νοητ(αῖς) τὸν Θ(εὸ)ν καθηδύνας,
καὶ σαρκὸς αὐτὸν ἡδύνεις κνίσσαις π(άτ)ερ.

᾿Ακολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

῎Αρχ.: Οὗτος γέγονεν ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, ἐκ τῆς Κυπρί(ων) ὁρμώμ(εν)ο(ς) νήσου [. . .]
Τελ.: [. . .] καὶ εἰς πῦρ βληθείς, τὸν στέφανον τοῦ μαρτυρίου ἠνέγκατο· τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου ᾿Ιω(άνν)ου τοῦ Βαπτιστοῦ, ἐν τοῖς Φορακίου.

(φ. 177β) «Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Κορωνάτ(ος) ξίφει τελειοῦτ(αι)».

Προθεὶς τράχηλον εἰς τομὴν Κορωνάτος,
κτείνει πολυτράχηλον ὕδραν, τὴν πλάνην.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσ(ιος) Σέριδος ἐν εἰρή(νῃ) τελειοῦτ(αι)».

῞Οπου σὺ (καὶ) Σέριδος Θ(εο)ῦ λόγε,
δόξαν θεωρῶν, ἣν π(ατ)ὴρ δέδωκέ σοι.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μ(άρτυ)ρ(ο)ς Οὐρσικίου».

Οὐρσικίου τμηθεῖσαν, ὦ Θ(εο)ῦ λόγε,
πῶς τ(ὴν) κε(φα)λ(ὴν) ἀστεφάνωτον λίπῃς;

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ πόλεως Σεμ(εν)τοῦ τῶν ἄνω Ἰλλυρι(ῶν) [. . .]
Τελ.: [. . .] Οὐάλεντος τοῦ διαβάλλοντος αὐτὸν σπασαμένου τὸ ξίφος, καὶ τρίτον ἐνέγκαντος κατ' αὐτοῦ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Λούκιος ὁ στρατιώτ(ης) πυρὶ τε(λειοῦται)».

Φυγὼν παλαιὰν Λούκιος ζύμην πλάν(ης),
καυθεὶς ἐπώφθης ἄζυμον Θ(ε)ῷ νέον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ εἰς τὸ παλάτιον εἰσκομιδὴ τοῦ τιμίου καὶ ζωοποιοῦ στ(αυ)ροῦ».

Λόγους ἀνάψας ἀντὶ φαιδρῶν λαμπάδων,
στ(αυ)ρὸν προπέμπω τῶν ἀνακτόρων μέσον.

ιε' (φ. 178α) «Μη(νὶ) τῷ αὐτ(ῷ) ιε'. [Ἡ Κοίμησις τῆς ὑπεραγίας Θεοτόκου.]

Οὐ θαῦμα θνήσκειν κοσμοσώτειραν κόρην,
τοῦ κοσμοπλάστου σαρκικ(ῶς) τεθνηκότος.
Ζῇ ἀεὶ θεομήτωρ, κἂν δεκάτη θάνε πέμπτη.

Ἀκολουθεῖ (φφ. 178α - 180α) τὸ συναξάριον τῆς Κοιμήσεως τῆς Θεοτόκου[1].

Ἀρχ.: Ὅτε πρὸς ἑαυτὸν Χ(ριστὸ)ς ὁ Θ(εὸ)ς ἡμ(ῶν) προσλαβεῖν εὐδόκησε τ(ὴν) ἰδί(αν) μ(ητέ)ρα [. . .]
(φ. 180α) Τελ.: [. . .] καὶ προσκυνεῖτ(αι) σώματος μένων κενός. Τελεῖτ(αι) (δὲ) ἡ τοιαύτη σύναξις ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ τ(ῶν) Βλαχερνῶν· πανηγυρίζετ(αι) (δὲ) καὶ ἐν πάσαις τ(αῖς) κατὰ τόπον ἁγί(αις) ἐκκλησίαις.

ις' «Μη(νὶ) τῷ αὐτ(ῷ) ις'. Μνήμη τοῦ ἁγίου μάρτυρος Διομήδους».

Ἤθλησε καὶ ζῶν (καὶ) νεκρὸς Διομήδης,
προαιρέσει ζῶν, (καὶ) νεκρὸ(ς) τομῇ κάρας.
Ἕκτη καὶ δεκάτη νέκυς ἐτμήθη Διομήδης.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ Ταρσοῦ τῆς Κιλικία(ς), φὺς μὲν ἐκ γέν(ους) ἐπισήμου καὶ ἀγαθοῦ [. . .]
(φ. 180β) Τελ.: [. . .] ἣν ἀπέβαλον ἐν τῷ τοῦ ἁγίου τεμ(εῖν) τὴν κεφαλήν· τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρίῳ, τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τ(ῆς) [. . .] Θ(εοτό)κου πλησίον τῆς Χρυσῆς Πόρτης.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Χαιρήμων ἐν εἰρήν(ῃ) τελειοῦτ(αι)».

Λήξει βίου σοῦ χαῖρε, Χαιρῆμον μάκαρ,
ἀρχὴ γ(ὰρ) ἧδε τῆς ἀμοιβῆς τ(ῶν) πόνων.

---

1. Κατὰ τὴν ἀρίθμησιν τῶν φύλλων τοῦ κώδικος παρελείφθη ν' ἀριθμηθῇ φύλλον 179. Οὕτω, μετὰ τὸ φύλλον 178 ἀκολουθεῖ φύλλον 180.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Ῥαβουλᾶς ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Βουλὰς Ῥαβουλᾶς θεὶς ἀπράκτους δαιμόνων,
ἀπῆρε βουλῇ τοῦ Θ(εο)ῦ τῶν ἐνθάδε.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) μάρτ(υς) Ἀλκιβιάδης πυρὶ τελειοῦτ(αι)».

Ἀλκιβιάδου σάρκα πῦρ κατεσθίειν
Μωσῆς ἂν εἶπε θεῖος, ὡσεὶ καλάμην.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Αἴγλων ὁ ἀναχωρητ(ὴς) ἐν εἰρήν(ῃ) τε(λειοῦται)».

Αἴγλων καθαρθεὶς καὶ διασχὼν ἐκ βίου,
αἴγλῃ θεαυγοῦς λάμπετ(αι) θεωρί(ας).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι τριακοντατρεῖς μάρτυρ(ες) οἱ ἐκ Παλαιστίνης πυρὶ τελειοῦντ(αι)».

Στερρὸς στρατός τις (καὶ) συνασπισμὸς μέγας,
ξίφει πεσών, στράτευμα δαιμόνων τρώγει[1].

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἀνάμνησις τῆς εἰσόδου τῆς ἀχειροποιήτου[2] μορφῆς τοῦ Κ(υρίο)υ καὶ Θ(εο)ῦ καὶ σ(ωτῆ)ρ(ο)ς ἡμ(ῶν) Ἰ(ησο)ῦ Χ(ριστο)ῦ, (καὶ) ἐκ τῆς Ἐδεσσηνῶν πόλεως εἰς ταύτην τὴν θεοφύλακτον καὶ βασιλίδα πόλιν ἀνακομισθείσης» (BHG 793).

Ἐν συνδόνι ζῶν ἐξεμάξω σ(ὴν) θέαν,
ὁ νεκρὸς εἰσδὺς ἔσχατον τὴν σινδόνα.

Ἀχειρότευκτον χειρότευκτον σὸν τύπον,
φέρει κέραμος, παντοτεῦκτα Χ(ριστ)έ μου.

Ἀκολουθεῖ (φφ. 180β - 183α) ἡ σχετικὴ διήγησις τῶν συμβάντων.

Ἀρχ.: Τῆς αὐτοῦ ἀγαθότητος τοῦ [. . .] Ἰ(ησο)ῦ Χ(ριστο)ῦ πολλὰ θαύματα ποιοῦντος, καθὼς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἀναγέγραπται [. . .]
(φ. 183α) Τελ.: [. . .] εἰς ἀσφάλειαν ὅλης τῆς πόλεως (καὶ) τῆς τ(ῶν) χριστιανῶν καταστάσεως.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἀνάμνησ(ιν) ποιούμεθ(α) τῆς περὶ ἡμᾶς μεγίστης καὶ ἀνυπερβλήτου φιλαν(θρωπ)ίας τοῦ Θ(εο)ῦ, ἧς ἐνεδείξατο τότε, ἀποστρέψας μετ' αἰσχύνης τοὺς ἀθέους Ἀγαρηνούς· τῇ μεσιτείᾳ τῆς ὑπεραγίας δεσποίνης ἡμ(ῶν) Θ(εοτό)κου (καὶ) ἀειπαρθένου Μαρίας» (BHG 1063f).

Ἀκολουθεῖ (φφ. 183α - 184α) ἡ σχετικὴ διήγησις.

Ἀρχ.: Ἐν ἀρχῇ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου, τοῦ καὶ Κόνωνος, ἀνῆλθε πλῆθος Σαρακην(ῶν) διὰ πολλ(ῶν) πλοί(ων) [. . .]
(φ. 184α) Τελ.: [. . .] ὁ λύτρωσιν τῷ λαῷ σου κ(αὶ) τ(ῇ) πόλ(ει)[3] σου διὰ τῆς ἀχράντου σου μ(ητ)ρ(ὸ)ς (καὶ) ἀειπαρθένου Θ(εοτό)κου παρέχων ἀεὶ (καὶ) μέχρ(ις) αἰῶνος.

1. γρ. τρέπει (;)
2. Εἰς τὴν ᾤαν, διὰ τῆς αὐτῆς χειρός: ἀχειροτεύκτου.
3. τ(ὴν) πόλ(ιν) cod.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ἐν τῷ ναῷ τῆς Πηγῆς τοῦ ἁγιάσματος ἐξάντλησις καὶ αὖθις ἀνάδοσις».

Πηγὴ κενοῦτ(αι) θαυματουργῶν ὑδάτων,
πληρουμένη (δέ), θαυματουργεῖ (καὶ) πάλιν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) συνέφθασε καὶ ἡ μνήμη τῆς μετὰ οἰκτιρμ(ῶν) ἐπενεχθείσης ἡμ(ῖν) ἐν τοῖς παλαιοῖς χρόνοις φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ· ἧς, παρ' ἐλπίδα πᾶσαν, ἐλυτρώσατο ἡμᾶς ὁ φιλάν(θρωπ)ος Θ(εό)ς».

ιζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιζ'. Μνήμη τοῦ ἁγ(ίου) ἱερομάρτυρος Μύρωνος».

Τί μοι κεφαλῆς ἡ τομή, Μύρων λέγει,
πρὸς τὸ στέφ(ειν) μέλλον με πάντιμον στέφος;
Ἑβδομάτῃ δεκάτῃ Μύρωνα τάμε ξίφος ὀξύ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ Δεκίου τοῦ βασιλέως (καὶ) Ἀντιπάτρου ἄρχοντος τῆς Ἀχαΐας [. . .]
Τελ.: [. . .] τὴν διὰ ξίφους ἀπόφασιν λαβών, τ(ὸν) αὐχένα ἐτμήθη· καὶ οὕτω τὸν στέφανον τῆς μαρτυρί(ας) ἐδέξατο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγί(ων) μαρτύρων· Στράτωνος· Φιλίππου (καὶ) Εὐτυχιανοῦ».

Ἔθεντό μοι βδέλυγμα, φησὶν ὁ Στράτων,
ἄνδρες βδελυκτοὶ καὶ πυρὶ κτείνουσί με.
(φ. 184β) Φιλῶν Θ(εὸ)ν Φίλιππε (καὶ) ψυχῆς πλέον,
κατακριθεὶς πῦρ, οὐ φιλόψυχος γίνῃ.

Εὐτυχιανὸς εἰς κάμινον ἡρμένην,
ὡς ἵππος εἰς πεδίον ἦν, τὸ τοῦ λόγου.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ἐν Νικομηδείᾳ διατρίβοντες, ἐπίτηδες ἀνῆεσαν εἰς τὸ θέατρ(ον) [. . .]
Τελ.: [. . .] τὸ ὑπὲρ Χ(ριστο)ῦ ἠγωνίσαντο στάδιον· (καὶ) νικήσαντ(ες), τὸν στέφανον ἔλαβον.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) σὺν τούτοις (καὶ) ὁ ἅγιος Κυπριανὸς πυρὶ τελειοῦτ(αι)».

Πῦρ Κυπριανὸς καρτερήσας καμίνου,
ἐξώτερον πῦρ, ὃ γραφὴ λέγει, φύγῃς.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγί(ων) μαρτύρ(ων) Παύλου καὶ Ἰουλιανῆς τῆς ἀδελφῆς αὐτοῦ».

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων. Κολοβὸν (διότι μετὰ τὸ φύλλον 184 ἔχει ἐκπέσει ἓν φύλλον).

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως, ἐν Πτολεμαΐδι· ἐτύγχανον (δὲ) ἀδελφοὶ κατὰ σάρκα. [. . .]
Τελ.: [. . .] τὰς κεφαλὰς ἀποτέμνονται· εἶτα ἐν εἱρ[κτῇ. . .]

ιη' [Μηνὶ τῷ αὐτῷ ιη'. Μνήμη ....
Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία τῶν πενήτων πληθύς, ἡ τὰ εἴδωλα συντρίψασα, πυρὶ τελειοῦται.

Πένητες ἄνδρες πλοῦτον εὗρον ἀθρόον,]
(φ. 185α) τὸ σύντροφον «δὸς» εἰς τὸ πῦρ λελοιπότες.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῶν) ἁγίων μαρτύρων· Ἕρμου· Σεραπίωνος καὶ Πολυαίνου».

Ἕρμῳ βιαίως ἐν πέτραις σεσυρμένῳ,
ὑπῆρξε πέτρα προσφυγὴ λαῶν πόλος.

Τὸν ἐν πέτραις πάνδεινον ἑλκυσμὸν φέρει,
καὶ Σεραπίων ὁ πλέον στερρὸς πέτρας.

Ὁ Πολύαινος αἷμα χεῖ συρεὶς πέτραις,
ὑπὲρ Θ(εο)ῦ χέαντος ἐκ πέτρας ὕδωρ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι διαβληθέντες ὑπὸ τῶν ἀπίστων [. . .]
Τελ.: [. . .] καὶ ταῖς πέτραις προσρήγνυσθαι, τῷ Θ(ε)ῷ τὰς ψυχὰς παρέθεντο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τ(ῆς) ἁγί(ας) μάρτυρος Ἰουλιανῆς, πλησίον τοῦ Στροβήλου· καὶ τοῦ ἁγ(ίου) μ(άρτυ)ρ(ος) Λέοντος, ὃς ἤθλησε παρὰ θάλασσ(αν), πλησίον Μύρων τῆς Λυκίας».
«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἐν τῇ ἐρήμῳ ὅσιοι τέσσαρεις ἀσκηταὶ ἐν εἰρήν(ῃ) τελειοῦντ(αι)».

Ἀδελφότ(ης) θνήσκουσ(ιν) ἀνδρῶν τεσσάρων,
τὰ κῶλα θέντων εἰς ἐρημίαν μίαν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῶν ἐν ἁγίοις π(ατέ)ρων ἡμῶν (καὶ) π(ατ)ριαρχῶν Κωνσταντινουπόλεως Γεωργίου (καὶ) Ἰω(άνν)ου· τελεῖτ(αι) (δὲ) ἡ αὐτ(ῶν) σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ».

Ὁ Γεώργιος, ὡς κελεύεις Χ(ριστ)έ μου,
ἔφασκε θνήσκων, ἔρχομαι κληθεὶς ἄνω.

Σκυθρωπὰ τὰ πρόσωπα τῆς ἐκκλησί(ας),
στέρησ(ιν) οὐ φέροντα τὴν Ἰωάννου.

ιθ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιθ'. Μνήμη τοῦ ἁγίου μεγαλομάρτυρος Ἀνδρέου τοῦ Στρατηλάτου· (καὶ) τ(ῶν) σὺν αὐτῷ τελειωθέντων δισχιλίων πεντακοσί(ων) ἐνενήκοντα καὶ τρι(ῶν)».

Στρατηλάτης ὢν ὡς ἀληθῶς Ἀνδρέας,
τομ(ὴν) κεφαλῆς ἀνδρικώτατα στέγει.

Ἔστησε τμηθεὶς αἱμάτ(ων) λίμνας ὄχλος,
σοὶ τῷ παραστήσαντι λίμνας ὑδάτων.

Ἐννεακαιδεκάτῃ τάμον Ἀνδρέου αὐχένα λαμπρόν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὑπῆρχε κατὰ τοὺς καιροὺς τοῦ ἀσεβεστάτ(ου) Μαξιμιανοῦ· στρατευόμενος ἐν τῇ ἀνατολικῇ χώρᾳ [...]
(φ. 185β) Τελ.: [...] καὶ αὐτὸν τὸν πανένδοξον μάρτυρα ξίφει ἀναιρεθῆναι προσέταξεν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων μαρτύρων· Τιμοθέου· Ἀγαπίου (καὶ) Θέκλης.

Πυρεῖον ἡ κάμινος ἐν μέσῳ φέρον
ἄρωμα, Τιμόθεον, εὐῶδες μάλα.

Ἀγάπιος τὸ δῆγμα τοῦ θηρὸς φέρει,
καὶ ψυχοδήκτης δάκνετ(αι) θὴρ καρδί(αν).

Ἔμοιγε κλῆσις Θέκλα· π(ατ)ρὶς Βιζύη·
Γάζης τόπος, θέατρον· ἆθλος, θὴρ δάκνων.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ ἔνδοξος μάρτυς Τιμόθεος εἷλκε τὸ γένος ἐκ Παλαιστίνης [...]
Τελ.: [...[...] τὸν τῆς μαρτυρίας στέφανον δι' αὐτ(ῶν) ἐκομίσαντο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Εὐτυχιανοῦ τοῦ στρατιώτου (καὶ) Στρατηγίου, διὰ πυρὸς τελειωθέντ(ων)».

Εὐτυχιανὸς καίεται, κρίνας μέγα
τὴν καῦσιν εὐτύχημα (καὶ) μικρ(ὸν) πάθος.

Ὁ Στρατήγιος Χ(ριστὸ)ν ὡς ὅπλον φέρων,
κατεστρατήγει (καὶ) πυρᾶς διηρμένης.

κ' (φ. 185β) «Μη(νὶ) τῷ αὐτ(ῷ) κ'. || Μνήμη τοῦ ἁγίου (καὶ) ἐνδόξου προφήτου Σαμουήλ».

Μύσας τελευτᾷ καὶ Σαμουὴλ ὁ βλέπων,
τὸ ζῶν ἀεὶ φῶς καὶ τελευτήσας βλέπει.
Βῆ δ' ὁρόων μέλλοντα Σαμουὴλ εἰκάδι ἔνθεν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐξ Ἀρμαθὲμ Σιφᾶ, ἐξ ὄρους Ἐφραὶμ [...]
Τελ.: [...] καὶ προεφήτευσε χρόνους τεσσαράκοντα.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτ(υ)ρ(ος) Φωτεινῆς, ἔξω τῆς τ(ῶν) Βλαχερνῶν· (καὶ) μνήμη τῶν ἁγί(ων) μ(αρτύ)ρ(ων) τριακονταεπτὰ τῶν ἐν Βιζύῃ τῆς Θρᾴκης μαρτυρησάντων».

Τρεῖς ἐνδέουσι πρὸ(ς) τὸ τοὺς κεκαυμέν(ους),
χάριν τριὰς σοῦ, τετράκις τελεῖν δέκα.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι ὥρμηντο, οἱ μ(ὲν) ἐκ τοῦ Βυζαντίου, οἱ δὲ ἐκ Φιλιππουπόλεως [...]

Τελ.: [. . .] ἐν αὐτῇ ἀπορρίπτονται· καὶ οὕτω τὰ πν(εύμ)ατα αὐτ(ῶν) τῷ Θ(ε)ῷ παρατίθενται.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Σεβήρου· καὶ Μέμνων(ος) τοῦ κεντυρίωνος».

Ξίφει παθὼν Σέβηρος εὗρεν ἀξίως
ἔπαθλα λαμπρὰ τοῦ διὰ ξίφους πάθους.

Ἔχει τὸ πῦρ σε πρὸς βραχὺ<ν> Μέμνων χρόνον,
μένει δέ σε στέφανος εἰς ἀεὶ μένων.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Σέβηρος, ὁ ἀήττητος τοῦ Χ(ριστο)ῦ μάρτυς, ἐκ Σίδης ἦν τῆς Παμφυλί(ας) [. . .]
(φ. 186β) Τελ.: [. . .] τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρέθετο, τὸν τοῦ μαρτυρίου ἀναδησάμενος στέφανον.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Λουκίου τοῦ βουλευτοῦ».

Βουλὰς ὅλας παρῆλθε τὰς Ἀχιτόφελ,
βουλῇ μιᾷ Λούκιος ἀθλήσας ξίφει.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Ὅς ἀπὸ Κυρήνης τῆς κατὰ Λιβύην ὑπῆρχε, πρῶτος μ(ὲν) τ(ῆς) ἐν τῇ πόλει βουλῆς [. . .]
Τελ.: [. . .] προστάξαντος τοῦ τυράννου τὴν κεφαλὴν ἀπετμήθη.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ἡλιοδώρου (καὶ) Δοσᾶ».

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Πεντηκοστῷ τρίτῳ ἔτει Σαβωρίου τοῦ βασιλέως Περσῶν ἀπελθόντος μετὰ στρατοῦ [. . .]
(φ. 187α) Τελ.: [. . .] εὐχαριστοῦντ(ες) (καὶ) προσευχόμ(εν)οι, || τῷ Θ(ε)ῷ τὰ πν(εύμ)ατα παρέδωκαν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) ἀρχιεπισκόπου Κωνσταντινουπόλ(εως) Παύλου τοῦ νέου».

κα´ «Μη(νὶ) τῷ αὐτ(ῷ) κα´. Μνήμη τοῦ ἁγίου ἀποστόλου Θαδδαίου τοῦ καὶ Λεβαίου».

Ἀκολουθεῖ συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐξ Ἐδέσσης τῆς πόλεως, Ἑβραῖος τῷ γένει [. . .]
Τελ.: [. . .] τελεῖτ(αι) δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου [. . .] Πέτρου [. . .] καὶ ἐν τῇ μονῇ τῶν Πρόβου.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Βάσσης (καὶ) τῶν τέκνων αὐτ(ῆς)· Θεογνίου· Ἀγαπίου καὶ Πιστοῦ».

Μ(ητ)ρ(ὸ)ς μιᾶς κάλλιστα παιδία τρία,
σὺν μ(ητ)ρὶ Βάσσῃ πρὸς τομ(ὴν) ψυχῇ μία.
Βάσσαν σὺν τεκέεσσι ξίφος τάμ(εν) εἰκάδι πρώτῃ.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Αὕτη ἡ μάρτυς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐν Ἐδέσσῃ τῇ πόλει τῆς Ἑλλάδος [. . .]
(φ. 187β) Τελ.: [. . .] τούτου (δὲ) γενομένου, τὸ πν(εῦμ)α αὐτῆς εἰς χεῖρας Θ(εο)ῦ ἐναπέθετο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῆς) ἁγί(ας) Θεοκλητοῦς τῆς θαυματουργοῦ».
Ἀκολουθεῖ συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Ἥτις ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Θεοφίλου τοῦ μισοχρίστου· π(ατ)ρίδα καὶ γένος ἕλκουσα ἐκ προγόνων, θέματος τῶν Ὀπτιμάτων [. . .]
(φ. 188α) Τελ.: [. . .] κατατιθέασι τῆς μ(ητ)ρ(ὸ)ς ἡμ(ῶν) τὸ σῶμα, ἄφθαρτον γ(ὰρ) ὑπάρχει.

κβ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κβ'. Μνήμη τοῦ ἁγίου μάρτυρος Ἀγαθονίκου (καὶ) τῶν σὺν αὐτῷ· Ζωτικοῦ· Ζήνωνος· Θεοπρεπίου· Ἀκινδύνου (καὶ) Σεβηριανοῦ».

Ἀγαθονίκου κλῆσις ἀψευδεστάτη,
χρηστὴν βοῶσα τοῦδε νίκην ἐκ ξίφους.
Ἔκτανε δευτερίῃ ξίφος εἰκάδ' Ἀγαθόνικον.

Τρεῖς καρτεροῦντες μηχανήματος βίαν,
τὰς μηχανὰς λύουσι τοῦ παμμηχάνου.

Ἐν μάρτυσι τμηθεῖσιν αὐχένας ξίφει,
Σεβηριανὸ(ς) τάττεται ξίφει.

Ἰδοὺ παρ' ἡμῖν καὶ Κυρηναῖος νέος,
οὐκ ἀγγαρευθείς, ἀλλ' ἑκὼν στ(αυ)ρὸν φέρων.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ μάρτυς τοῦ Χ(ριστο)ῦ Ἀγαθόνικος ἦν κ(α)τὰ τοὺς χρόνους Μαξιμιανοῦ, συνελήφθη δὲ ὑπὸ κόμητος τινὸς [. . .]
(φ. 188β) Τελ.: [. . .] τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρίῳ τῷ ὄντι ἐν Καινουπόλει· (καὶ) ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας Θεοδώρας ἐν τῷ Ξηροκρίνῳ.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγί(ας) μάρτυρος Ἀνθούσης· (καὶ) Ἀθανασίου ἐπισκόπου βαπτίσαντος αὐτήν· (καὶ) Χαρησίμου (καὶ) Νεοφύτου τ(ῶν) οἰκετ(ῶν) αὐτῆς».

Ἀνθῆσαν ἐκ γῆς τῆς Σελευκεί(ας) ῥόδον,
Ἀνθοῦσαν ἐδρέψαντο χεῖρες ἀγγέλων.

Ἀθανάσιος (καὶ) τεθνήξομαι ξίφει,
καὶ ζῶσι Χ(ριστο)ῦ ζῶν τετάξομαι φίλοις.

Δοῦλοι δύο τμηθέντες, εὗρον οἱ δύο
τὴν εὐγένειαν, ἣν ἀπώλεσαν πάλαι.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Αὕτη ὑπῆρχεν ἐπὶ Οὐαλλεριανοῦ βασιλέως· ἐκ πόλ(εως) Σελευκεί(ας), Ἀντωνίνου (καὶ) Μαρίας θυγάτηρ [. . .]
(φ. 189α) Τελ.: [. . .] εἶθ' οὕτω τὰς κεφαλὰς ἀποτέμνονται· τελεῖτ(αι) (δὲ) ἡ τ(ῆς) ἁγί(ας) σύναξις ἐν Ἱπποΐχνοις.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) οἱ ἅγιοι Εἰρηναῖος, Ὧρ καὶ Ὄροψις ξίφει τελειοῦνται».

Ξίφει τριὰς τμηθεῖσα, τριστάτας πλάνης
βυθῷ καλύπτει τῶν ἑαυτῆς αἱμάτων.

κγ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κγ'. Μνήμη τοῦ ἁγίου μάρτυρος Λούπου».

Ὑπῆρχε Λοῦπος δοῦλος· ἐκ δὲ τοῦ τέλους,
ἐλεύθερος προσῆλθε τῷ Θ(ε)ῷ φίλος.
Εἰκάδι ἐν τριτάτῃ πέφνε Λοῦπον φασγάνου ἀκμή.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου μάρτυρος Εἰρηναίου ἐπισκόπου Σιρμίου».

Τμηθεὶς μετέσχε νεκρικῶν ὁ Σιρμίου
λουτρῶν σχεδίων, ὑδάτ(ων) ποταμί(ων).

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ἦν ἐπὶ τῆς βασιλεί(ας) Διοκλητιανοῦ· ἐπίσκοπος Σιρμίου [. . .]
(φ. 189β) Τελ.: [. . .] καὶ οὕτως ἐτελειώθ(η) αὐτοῦ ἡ μαρτυρία, εἰς δόξαν τοῦ Θ(εο)ῦ ἡμ(ῶν).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου ἱερομάρτ(υ)ρ(ος) Εἰρηναίου ἐπισκόπου Λουγδούνων».

Σπεύδει λιπεῖν γῆν ἐκ ξίφους Εἰρηναῖος,
ἐρωτιᾷ γ(άρ) τῷ πρὸ(ς) οὐ(ρα)νοὺς πόθῳ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Μάρκου Ἀντωνίνου τοῦ βασιλέως, ἀρχαῖος ἀνὴρ [. . .]
Τελ.: [. . .] καὶ αὐτὸς ὑπὸ τῶν διωκτ(ῶν) ξίφει τελειωθείς, στεφανοῦται.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Καλλινίκου π(ατ)ριάρχου Κωνσταντινουπόλ(εως)».

Καλλίνικος μέλλουσαν ἡδονὴν μένων,
πρὸς τὴν τελευτὴν οὐκ ἀηδῶς ἦν ἔχων.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος πρότερον μ(ὲν) ἦν πρεσβύτερος καὶ σκευοφύλαξ τοῦ ναοῦ τῆς ὑπεραγίας Θ(εοτό)κου τῶν Βλαχερνῶν [. . .]
(φ. 190α) Τελ.: [. . .] οἱ ἅγιοι ἀπόστολοι ἐνεφάνησαν· τελεῖτ(αι) δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτ(ά)τ(ῃ) μεγάλῃ ἐκκλησίᾳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ), οἱ ἅγιοι τεσσαρακονταοκτὼ [γρ. τριακονταοκτὼ] μάρτυρες, οἱ ἐν Θρᾴκῃ, ξίφει τελειοῦνται».

Ἤνεγκε τριπλῆ μαρτύρων δεκὰς ξίφος,
ἔχουσα καὶ σύναθλον ἁπλῆν ὀκτάδα.

κδ' [«Μη(νὶ) τῷ αὐτ(ῷ) κδ'.] Κατάθεσις τοῦ τιμίου λειψάνου τοῦ ἁγίου ἀποστόλου Βαρθολομαίου».

Ἵνα τρυγῶμ(εν) ἄφθονον πιστοὶ χάριν,
Βαρθολομαῖος εὑρέθη κεκρυμμένος.
Τὸν νέκυν εἰκάδι Βαρθολομαίου ἐφεῦρον πέμπτη[1].

Ἀκολουθεῖ (φφ. 190α - 191α) συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Ὡς θαυμαστὸς ὁ Θ(εὸ)ς ἐν τοῖς ἁγίοις αὐτοῦ, εὔκαιρόν ἐστι κἀμοὶ νῦν ἀναβοῆσαι [. . .]
(φ. 191α) Τελ.: [. . .] πᾶσι τοῖς ἐκεῖσε ἐδείκνυτο, εἰς δόξαν τοῦ ὑπεραγάθου Θ(εο)ῦ ἡμῶν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Τατίωνος».

Ἕλξει μετρήσ(ας) πολλὰ πολλὰ γῆς πλέθρα,
Ἐδὲμ λάβοις ἄμετρα πλέθρα Τατίων.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ τοῦ Μαντινέου ὑπὸ Κλαυδιούπολιν τ(ὴν) μ(ητ)ρόπολιν [. . .]
(φ. 191β) Τελ.: [. . .] εὐαγγελιζομένης αὐτῷ τὰ ἀποκείμενα ἀγαθά, τῷ Θ(ε)ῷ τὸ πν(εῦμ)α παρέθετο.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ ὁμολογητοῦ Γεωργίου τοῦ Λιμνιώτου».

Κοινῷ τελευτῶν καὶ Γεώργιος τέλει,
σημεῖον ἄθλου ῥῖνα τμηθεῖσαν φέρει.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος ἐκ νεαρᾶς ἡλικίας τὴν ἀσκητικὴν ἀγωγὴν [. . .]
Τελ.: [. . .] τὴν κεφαλὴν καταφλεχθείς, εὐχαριστῶν καὶ προσευχόμενος, τῷ Θ(ε)ῷ τὸ πν(εῦμ)α παρέθετο.

κε' [«Μη(νὶ) τῷ αὐτ(ῷ) κε'.] Μνήμη τοῦ ἁγίου ἀποστόλου Τίτου, ἐπισκόπου Γορτύνης τῆς κ(α)τ(ὰ) Κρήτ(ην), μαθητοῦ τοῦ ἁγίου ἀποστόλ(ου) Παύλου».

Ἴτω παρ' ἡμ(ῶν) καὶ Τίτῳ βραχὺς τίτλος,
τούτου τελευτ(ὴν) τ(ὴν) ἐν εἰρήνῃ φέρ(ων).
Οὐ(ρά)νιον δάπεδον λάχεν εἰκάδι Τίτον ἐν πέμπτῃ.

Ἀκολουθεῖ (φφ. 191β - 192α) συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Τίτος ὁ μακάριος ἐκ Μίνωος τοῦ βασιλέως Κρήτης εἷλκε τὸ γένος [. . .]
(φ. 192α) Τελ.: [. . .] ὁ τῶν εἰρημένων ἐτ(ῶν) ἀριθμὸς συγκεφαλαιοῦτ(αι)· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ αὐτοῦ ἐκκλησίᾳ.

(φ. 192β) «Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων π(ατέ)ρων ἡμῶν· Ἐπιφανίου·

---

1. γρ. τετάρτῃ.

|| Μηνᾶ· Γενναδίου (καὶ) Ἰω(άνν)ου· ἀρχιεπισκόπων γενομ(ένων) Κωνσταντινουπ(ό)λ(εως)».

Σπάσας τελευτῆς Ἐπιφάνιος μέθυ
κεῖται τραπεὶς εἰς ὕπνον εὐθὺς τῷ κάρῳ.

Ὁ κόσμος ἐκλέλοιπε τῆς ἐκκλησίας,
Μηνᾶς γὰρ ἐκλέλοιπ(εν) ἐκ τῶν ἐνθάδε.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου Μηνᾶ.

Ἀρχ.: Ὁ μακάριος Μηνᾶς κατὰ τοὺς χρόνους Ἰουστινιανοῦ τοῦ βασιλέως πρεσβύτερος ἦν [. . .]
Τελ.: [. . .] (καὶ) τὸ ποίμνιον ἐπαυξήσας, πρὸ(ς) Κ(ύριο)ν ἐξεδήμησε· τελεῖτ(αι) δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτ(ά)τ(ῃ) μεγάλῃ ἐκκλ(ησί)ᾳ.

κς' «Μη(νὶ) τῷ αὐτ(ῷ) κς'. Μνήμη τ(ῶν) ἁγίων μαρτύρων Ἀδριανοῦ (καὶ) Ναταλίας· (καὶ) τ(ῆς) συνοδεί(ας) αὐτῶν».

Ἀδριανοῦ τέμνουσι χεῖρας (καὶ) πόδας,
χεῖρες πονηρῶν, ὧν φονοδρόμοι πόδες.

Ἐν τῷ βίῳ σύνευνος· ἐν δὲ τῷ πόλῳ,
Ἀδριανῷ σύσκηνος ἡ Ναταλία.
Ἀδριανὸ(ς) χεῖρας εἰκάδι τμήθη πόδ(ας) ἕκτῃ.

Ἀκολουθεῖ (φφ. 192β - 193β) συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ μάρτυς Ἀδριανὸς (καὶ) Ναταλία ἡ αὐτοῦ γαμετὴ ὑπῆρχον ἐκ πόλε(ως) Νικομηδεί(ας) [. . .]
(φ. 193β) Τελ.: [. . .] καὶ πλησίον τ(ῶν) λειψάν(ων) κατετέθη τῶν ἁγίων μαρτύρων· τελεῖτ(αι) δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ, πέραν ἐν Ἀργυροπόλει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ συναθλήσαντες τῷ ἁγίῳ Ἀδριανῷ εἰκοσιτρεῖς ἅγιοι μάρτυρες, χεῖρας καὶ πόδας ἐκκοπέντες, τελειοῦνται».

Τέμνουσιν ἀνδρῶν εἰκοσιτριῶν ἄκρα,
τὰ τετράκις τοσαῦτα, χεῖρας (καὶ) πόδας.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρ(ες) Ἀττικὸς καὶ Σισίνιος ξίφει τελειοῦντ(αι)».

Συσταδιοδρομοῦσιν ἀθληταὶ δύο,
ξίφ(ους) δραμόντες στάδιον κουφοδρόμ(ως).

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἰβιστίων ἐν εἰρήν(ῃ) τελειοῦτ(αι)».

Ῥιφθεὶς ὑσσώπῳ δακρύων Ἰβιστίων,
εὔθυμος εἰς ἄδακρυ χωρεῖ χωρίον.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Ἀδριανοῦ».

Ἀδριανὸν τμηθέντα κοσμήσει στέφος,
ἐν τῇ μεγίστῃ τῶν στεφάνων ἡμέρα.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ἦν ἐπὶ Λικινίου ἐν Βυζαντίῳ, υἱὸς ὑπάρχων Πρόβου τοῦ βασιλέως [. . .]
Τελ.: [. . .] ἐν Ἀργυροπόλει κατέθετο ἔνθα ἦν [. . .] ὑπὸ Ἀνδρέου ἀποστόλου καταστάντος, τὰ ἅγια λείψανα.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Ἰωάσαφ, ὁ τοῦ βασιλέως Ἀβενὴρ υἱός, ἐν εἰρήν(ῃ) τελειοῦται».

Ζήλῳ τὰ βασίλεια παμβασιλέως,
ᾤκησ(εν) υἱὸς γηΐνου βασιλέως.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Τιθόης ἐν εἰρήν(ῃ) τελειοῦτ(αι)».

(φ. 194α) Οὐκ εἶχεν οἶμαι σάρκα Τιθόης ὅλως,
κἂν εἶχε, τήξας οὐκ ἐᾷ βρῶσ(ιν) τάφῳ.

κζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κζ'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ποιμένος τοῦ ἀναχωρητοῦ».

Ὡς ἐκ λύκου χαίνοντος ἡρπάγη βίου,
Ποιμὴν τὸ θρέμμα τοῦ μεγίστου ποιμένος.
Ποιμένα ἐς μέγαν ἑβδόμῃ εἰκάδι ᾤχετο Ποιμήν.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος ὑπῆρχε τῷ γένει ἐν πλείοσι· ὃς λαβὼν τοὺς ἑαυτοῦ ἀδελφοὺς καὶ ἀναχωρήσας [. . .]
(φ. 194β) Τελ.: [. . .] τελευτᾷ δὲ γέρων ὢν καὶ πλήρης ἡμερῶν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγί(ας) μάρτυρος Εὐθαλίας».
Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἡ ἁγία μάρτυς τοῦ Χ(ριστο)ῦ Εὐθαλία μ(ητέρ)α εἶχεν ἐν Σικελίᾳ Ἑλληνίδα αἱμορροοῦσαν [. . .]
Τελ.: [. . .] καὶ οὕτω τελέσασα τὸν δρόμον τοῦ μαρτυρίου (καὶ) στεφανωθεῖσα, ἀνῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ ὁμολογητοῦ Λιβερίου ἀρχιεπισκόπου Ῥώμης».

Τὸν πλοῦτον ἀντλεῖν Λιβέριος νῦν ἔχει,
ὃν οὐ(ρα)νοῖς ἦν ἐμφρόνως θησαυρίσας.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὑπῆρχε κατὰ τοὺς καιροὺς Κωνσταντίνου τοῦ βασιλέως, ὃς τὸν Μέγαν Ἀθανάσιον [. . .]
(φ. 195α) Τελ.: [. . .] καὶ τὸ λειπόμενον τῆς ζωῆς αὐτοῦ καλῶς βιώσας, ἀνεπαύσατο ἐν Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) ἐπισκόπου Κουδρούβης τῆς κατὰ Ἱσπανίαν».

Τὴν κλῆσιν εἰπὼν ὅσιε τὴν σὴν μόνην,
πληρῶ θανόντι τῶν ἐπαίνων σοι χρέος.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος ἐν ἀσκήσει τὸ πρότερον διαπρέψας [. . .]
Τελ.: [. . .] καὶ πολλὰ δυσχερῆ καρτερήσ(ας), ἐν αὐτῇ τὸν βίον κατέλυσεν.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ὑπὸ τοῦ ἀποστόλ(ου) Φιλίππου βάπτισις τοῦ εὐνούχου Αἰθίοπος».

Ἀνὴρ ἐλέγχει τ(ὴν) παροιμί(αν) σπάδων,
λευκαίνεται γάρ, καὶ πεφυκὼς Αἰθίοψ.

«Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Ἄνθουσα ἡ νέα, κέντουκλον ἐνδυθεῖσα καὶ πέτραν εἰς τὸν τράχηλον περιδεθεῖσα, εἰς φρέαρ ῥίπτεται καὶ τελειοῦται».

Ὁ μανδύας σοι πῖλος, ἡ πόρπη[1] πέτρα,
μεθ' ὧν ὑπῆλθες Ἄνθουσα βαθὺ φρέαρ.

κη' «Μη(νὶ) τῷ αὐτ(ῷ) κη'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Μωσέως τοῦ Αἰθίοπος».

Φήσεις τὸ ῥητὸν καὶ θανὼν Μωσῆ μέλα,
ἄν(θρωπ)ος ὄψιν (καὶ) Θ(εὸ)ς τ(ὴν) καρδίαν.
Θάψαν ἐν εἰκάδι Μωσῆν ὀγδόῃ Αἰθιοπῆα.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος τῷ μὲν γένει ἦν Αἰθίοψ, τῇ δὲ χροιᾷ μέλας ἀκριβῶς [. . .]
(φ. 195β) Τελ.: [. . .] καταλιπὼν ἑβδομήκοντα μαθητάς.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμῶν Σεραπίωνος».

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Σεραπίων, μετὰ τὸ κατορθῶσαι πᾶσαν κατάστασιν μοναχικὴν [. . .]
(φ. 196α) Τελ.: [. . .] καὶ εἰς βαθὺ γῆρας ἐλάσας, μετέστη ἐν εἰρήνῃ πρὸς τὰς αἰωνίους μονάς.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι τριακοντατρεῖς οἱ ἐξ Ἡρακλεί(ας) ὄντες μάρτ(υ)ρ(ες) πυρὶ τελειοῦνται».

Καὶ τὸ βρέμον πῦρ τοῖς ἀθληταῖς Κ(υρίο)υ
ὡς ὄμβρ(ος) ἐπ' ἄγρωστιν ἦν τὸ Μωσέως.

1. πόρτη cod.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι Διομήδης καὶ Λαυρέντιος, πλατάνῳ δεθέντες, τοξευόμενοι τελειοῦνται».

Διττοῖς ἀθληταῖς προσδεθεῖσι πλατάνῳ,
ταθέντα τόξα, πλατάνων κενοὶ ψόφοι.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ δίκαιος Ἐζεκί(ας) ὁ βασιλ(εὺς) ἐν εἰρήν(ῃ) τελειοῦτ(αι)».

Εἰ δακρύσας ἦν Ἐζεκίας ὡς πάλαι,
ζωῆς ἂν ἄλλην εὗρε προσθήκην πάλιν.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τῆς ἁγί(ας) Ἄννης τῆς θυγατρὸς Φανουήλ».

Οὐ γῆς ἀπῆρεν ἡ Φανουὴλ θυγάτηρ,
ἕως ἐπ' αὐτῆς εἶδε τὸν Θ(εὸ)ν βρέφος.

κθ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κθ'. Ἡ ἀποτομὴ τῆς τιμί(ας) κεφαλῆς τοῦ ἁγίου Ἰω(άννου) τοῦ προφήτου Προδρόμου καὶ Βαπτιστοῦ».

Τέμνει κεφαλὴν χεὶρ μιαιφόνος ξίφει
τοῦ χεῖρα θέντος εἰς κεφαλ(ὴν) Κ(υρίο)υ.
Εἰκάδι ἀμφ' ἐνάτ(ην) Προδρόμου τάμεν αὐχένα χαλκός.

Ἀκολουθεῖ σχετικὸν συναξάριον.

Ἀρχ.: Ὃς ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας μαρτυρεῖται εἶναι [. . .]
(φ. 196β) Τελ.: [. . .] παρὰ τῶν ἰδίων μαθητῶν ἀπεκρύπτετο τὸ σῶμα· τελεῖτ(αι) (δὲ) ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ προφητείῳ τῷ ὄντι ἐν τοῖς Φορακίου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ὅσιος Σαρματᾶς ἐν εἰρήν(ῃ) τελειοῦτ(αι)».

Ἥκει καταπτὰς ἄγγελος Θ(εο)ῦ λόγου,
(φ. 197α) λέγων, ἔγειραι Σαρματᾶ, || χαίρων ἕπου.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ἡ ὁσία Βρυαίνη ἐν εἰρήν(ῃ) τελειοῦτ(αι)».

Ἐκ γῆς Βρυαίνη, χαρίτων θεία βρύσις,
μετωχετεύθη ζῶσ(αν) εἰς πηγ(ὴν) ἄνω.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) οἱ ἅγιοι δεκαὲξ μάρτυρες οἱ Θηβαῖοι ξίφει τελειοῦντ(αι)».

Τρεῖς ἀριθμοῦ τυγχάνειν ἓξ (καὶ) δέκα,
τμηθέντας ἄνδρας ἀρτιάκις ἀρτίου.

«Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος ἱεράρχης Εὐλάλιος ἐν εἰρήν(ῃ) τελειοῦται».

Ὢν Εὐλάλιος εὔλαλος τέττιξ μάλα,
χειμῶνος ὥρᾳ τοῦ τέλους σιγὴν ἄγει.

λ' «Μη(νὶ) τῷ αὐτ(ῷ) λ'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Φαντίνου τοῦ θαυματουργοῦ».

Καὶ γῆν ὑπελθὼν θαυματουργὸς Φαντῖνος,
ἄνωθεν ἡμῖν μάννα θαυμάτων ὕει.
Φαντῖνος βιότου ἀνεχάζετο ἐν τριακοστῇ.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος εἷλκε τὸ γένος ἐκ χώρας τῶν Καλαβρῶν· Γεωργίου καὶ Βρυαίνης γέννημα [. . .]
Τελ.: [. . .] ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον.

«Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ἓξ μάρτυρες οἱ ἐν Μελιτηνῇ, ἐν τῇ θαλάσσῃ τελειοῦντ(αι)».

Ἐξάστερόν τι χρῆμα μαρτύρων σέλας,
δῦναν θαλάσσης ἔνδον, ἐκλάμπει πόλου.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Φήλικος (καὶ) τ(ῶν) σὺν αὐτῷ· Φουρτινιανοῦ· Σεπτεμίνου (καὶ) Ἰαννουαρίου».

Τμηθεὶς κεφαλὴν ἱερὰν λύθρῳ χρίῃ,
καὶ χρῖσμα κοσμεῖς ἱερωσύνης Φῆλιξ.

(φ. 197β) Οὐ μή με πλήξῃς ὅστις εἶ ταχεῖ[1] ξίφει,
Φουρτινιανὸς ἐμβριμώμ(εν)ο(ς) λέγει.

Ὁ πάντα σεπτὸς ἐν βίῳ Σεπτεμῖνος
πάνσεπτον εὗρε (καὶ) τέλος διὰ ξίφους.

Ἄρας φόνου σίδηρον ὁ πνέων φόνον,
τέμνει κεφαλὴν τὴν Ἰαννουαρίου.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ γενναῖοι τοῦ Χ(ριστο)ῦ στρατιῶται, ζήλῳ θείῳ πυρωθέντες [. . .]

Τελ.: [. . .] ὅ τε ἥλιος καὶ ἡ σελήνη, τὴν ἄδικον αὐτ(ῶν) μὴ φέροντες σφαγήν, εἰς αἷμα μετεβλήθησαν· οἱ (δὲ) μάρτυρες καλῶς τὸν δρόμον τελέσαντες, οὕτως ἀνεπαύσαντο ἐν Κ(υρί)ῳ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Φιλωνίδους ἐπισκόπου Κουρίου».

Ῥιπτεῖς σεαυτὸν ὑψόθεν Φιλωνίδη,
φίλης ἁγνεί(ας) ἐκριφῆναι μὴ θέλων.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλ(έως) καὶ Μαξίμου ἡγεμόνος [. . .]

Τελ.: [. . .] ἄγγελος δὲ [. . .] ἀπεκάλυψεν ἀνελέσθαι τὸ σῶμα τοῦ μάρτυρος (καὶ) κηδεῦσαι αὐτὸ ἐντίμως.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τ(ῶν) ἁγίων π(ατέ)ρων ἡμ(ῶν) ἀοιδίμ(ων) π(ατ)ριαρχῶν Κωνσταντινουπόλεως, Ἀλεξάνδρου, Ἰω(άνν)ου καὶ Παύλου τοῦ νέου· τελεῖτ(αι) (δὲ) ἡ αὐτῶν σύναξις, ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ».

Σχοίνους διαδρὰς Ἀλέξανδρε σαρκίου,
σχοίνισμα κλήρου χρηματίζεις Κ(υρίο)υ.

1. ταχεῖ: ταχὺ cod.

λα' «Μη(νὶ) τῷ αὐτ(ῷ) λα'. Ἀνάμ[νησις τῆς] ἐν τῇ ἁγίᾳ σορῷ καταθέσεως τῆς τιμί(ας) ζώνης τ(ῆς)» ‖ [ὑπεραγίας Θεοτόκου. . .].
Κολοβόν.

Ὁλόκληρος ὁ κῶδιξ γεγραμμένος ὑπὸ τῆς αὐτῆς χειρός. Γραφὴ στρογγυλόσχημος, καλλιγραφική, σταθερὰ καὶ εὐανάγνωστος, ἐμπείρου βιβλιογράφου. Ὀρθογραφικὰ σφάλματα πολὺ ὀλίγα. Διαστάσεις γεγραμμένης ἐπιφανείας τῶν φύλλων 0,205×0,145. Στίχοι 34. Βραχυγραφίαι καὶ ἐπιτμήσεις ὀλίγαι καὶ ἐκ τῶν συνήθων. Τίτλοι καὶ ἀρχικὰ κεφαλαῖα γράμματα ἐρυθρόγραφα, ἐντελῶς ἁπλᾶ. Πολλαχοῦ διπλοτονούμενα *μὲν* καὶ *δέ*. Παράφυλλα εἰς τὴν ἀρχὴν Α' - Β'.

Ὁ κῶδιξ ἔχει ἀπαρτισθῆ ἐκ κανονικῶν ὀκταφύλλων τετραδίων, τὰ ὁποῖα ὅμως δὲν φέρουν ἀρίθμησιν. Ἀπὸ τὴν ἀρχὴν τοῦ κώδικος ἔχουν ἐκπέσει ὡρισμένα φύλλα (λείπουν αἱ μνῆμαι καὶ τὰ συναξάρια τῶν τεσσάρων πρώτων ἡμερῶν τοῦ Μαρτίου). Χάσματα ἐπίσης παρατηροῦνται, λόγῳ ἐκπεσόντων φύλλων, μετὰ τὰ φύλλα 1, 6, 24 (ἔχουν ἐκπέσει τέσσαρα φύλλα), 89 (ἔχει ἐκπέσει ἓν πλῆρες ὀκτάφυλλον τετράδιον), 101 (ἔχει ἐκπέσει ἓν φύλλον), 136 (ἔχει ἐκπέσει ἓν πλῆρες ὀκτάφυλλον τετράδιον), 160 (ἔχει ἐκπέσει ἓν φύλλον) καὶ 184 (ἔχει ἐκπέσει ἓν φύλλον). Ἀπὸ τὸ τέλος τοῦ κώδικος, μετὰ τὸ φύλλον 197, ἔχουν ἐκπέσει ἓν ἕως δύο φύλλα. Μετὰ τὸ φύλλον 178 ἀκολουθεῖ φύλλον 180, ἤτοι παρελείφθη κατὰ τὴν φυλλαρίθμησιν τοῦ κώδικος νὰ ἀριθμηθῇ φύλλον 179.

Ὁ χάρτης τῶν φύλλων τοῦ κώδικος φέρει καὶ ὑδατόσημα, τὰ ὁποῖα παριστοῦν: α') Ἐσχηματοποιημένον (ἐν εἴδει ἡμισελήνου) τὸ γράμμα C («lettres», C· βλ. τὰ φύλλα τοῦ κώδικος 4, 5, 7, 8, 10, 13, 15, 16, 18, 21, 23, 93, 95 καὶ 103)· τὸ ὑδατόσημον τοῦτο ὅμοιον πρὸς τὸ ὑπ' ἀριθ. 8103 (ἔτ. 1326/38) τοῦ C. Briquet καὶ 5197 (ἔτ. 1326/38) τῶν V. Mošin - S. Traljić. β') Ἐσχηματοποιημένον (ἐν εἴδει δύο ἀνίσων κύκλων, συνδεομένων μεταξύ των δι' εὐθείας γραμμῆς) τὸ γράμμα S («lettres», S· βλ. ἐνδεικτικῶς τὰ φύλλα 29, 31, 32, 38, 58, 66, 69, 88, 90, 100, 116, 130, 140, 146, 154, 178, 188, 190, 194 κ.ἄ.)· τὸ ὑδατόσημον τοῦτο παρόμοιον πρὸς τὸ ὑπ' ἀριθ. 5601 (περὶ τὸ ἔτος 1300) τῶν V. Mošin - S. Traljić. γ') Ἰσοσκελῆ σταυρὸν μὲ ἀπεστρογγυλωμένας τὰς κεραίας κατὰ τὰ ἄκρα των («croix»· ἀπαντᾷ μόνον εἰς τὰ φύλλα 43 καὶ 46)· τὸ ὑδατόσημον τοῦτο παρόμοιον πρὸς τὸ ὑπ' ἀριθ. 3528 (ἔτ. 1325/27) τῶν V. Mošin - S. Traljić καὶ 9 («croix»· ἔτ. 1322) τῶν D. - J. Harlfinger. δ') Κράνος («casque»· ἀπαντᾷ εἰς τὰ φύλλα 61, 64, 71, 85, 87, 96, 108, 111, 113, 118, 157, 168)· τὸ ὑδατόσημον τοῦτο δὲν ταυτίζεται. ε') Εἰς τὰς προσθέτους μεταγενεστέρας λωρίδας χάρτου, ποὺ ἔχουν ἐπικολληθῆ ὡς περιθώρια ἐπὶ τῶν ἀρχικῶν φύλλων τοῦ κώδικος, διακρίνεται ὑδατόσημον, τὸ ὁποῖον παριστᾷ ἀνοικτὴν παλάμην μετὰ τοῦ καρποῦ, ἄνωθεν τοῦ μεσαίου

δακτύλου τῆς ὁποίας πεντάφυλλον ἄνθος μὲ ρομβοειδῆ φύλλα («main»· βλ. τὰ πρόσθετα περιθώρια τῶν φύλλων 19, 74, 92, 147, 194)· τὸ ὑδατόσημον τοῦτο, χωρὶς νὰ ταυτίζεται ἀκριβῶς, παρομοιάζει πρὸς τὸ ὑπ' ἀριθ. 10761 (ἐτῶν 1529/48) τοῦ C. Briquet.

Ἐπειδὴ κατὰ τὸν χρόνον καθ' ὃν ἐγράφη ὁ Συναξαριστὴς οὗτος ἡ Κυριακὴ τοῦ Πάσχα συνέπιπτε μὲ τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ, 25 Μαρτίου (βλ. ἀνωτέρω, σελ. 31, κα'), θὰ πρέπει νὰ χρονολογήσωμεν τὸν κώδικα τοῦτον εἰς τὸ ἔτος 1285 ἢ 1296, ὁπότε τὸ Πάσχα ἑωρτάζετο τὴν 25ην Μαρτίου. Τὸ εἶδος τῆς γραφῆς τοῦ κώδικος, καθὼς καὶ τὰ ὑδατόσημά του δὲν ἐπιτρέπουν τὴν χρονολόγησίν του εἰς ἓν τῶν ἐτῶν 1212 ἢ 1380 ἢ 1459, κατὰ τὰ ὁποῖα τὸ Πάσχα συνέπιπτεν ἐπίσης μὲ τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου[1].

Ἐπὶ τοῦ παραφύλλου Αα (ἀποκεκομμένου καὶ ἐλλιποῦς κατὰ τὴν δεξιάν του πλευρὰν) τὸ κτητορικὸν σημείωμα:

† το σοιναξάρυον ἡπάρχει του ρουσάνου καὶ .... | νὰ ἔχει τὰσ αρᾶσ τών τριακοσίον δε⟨κα καὶ ὠκτὼ θεο⟩ | φώρων π(ατέ)ρων καὶ νά ἦναι ασοιχώρητος κ⟨αὶ ἄλυτος....⟩ | μαξιμωσ ἡγούμενος καὶ ......

Εὐθὺς κατωτέρω, ἐπὶ τοῦ αὐτοῦ φύλλου, ἡ ἐνθύμησις: *εκιμίθι ο δουλοσ τοῦ θ(εο)ῦ οια ...... | καὶ προτοστάτῆς τῆς αυτῆς μονῆσ ...... | καὶ ἐονύα αυτοῦ η μνήμι | ἐπὶ ἔτ(ους) ....*

Ἐπὶ τοῦ αὐτοῦ παραφύλλου Αβ:

† εκιμήθη ὁ δουλος του θ(εο)ῦ νεὄφιτος ιερομοναχος κ(αὶ) προστάτης αὐτίς | του ρουCάνου

Ἐπὶ τοῦ παραφύλλου Βα ἑτέρα ἐνθύμησις:

† ἐκειμήθειν ὁ δοῦλοσ τοῦ θ(εο)ῦ· εὐθΐμη· | ὡς καὶ προστάτης του ρουσσάνου· ἐπι ἔτ(ους) | ,ζσι' [7210 = 1701/2].

Στάχωσις ἐξηρθρωμένη, ἐκ παχειῶν ξυλίνων πινακίδων ἐπενδεδυμένων διὰ βυρσίνου ἐπικαλύμματος (ἐφθαρμένου σήμερον), ἐπὶ τοῦ ὁποίου ἔντυπος γραμμικὴ διακόσμησις καὶ ὀκτὼ μεταλλικοὶ γόμφοι.

Ὁ κῶδιξ ρυπαρὸς καὶ διαποτισμένος ὑπὸ τῆς ὑγρασίας. Διατήρησις μετρία.

Ἀριθμοὶ Χρ. Μπέντα, μετὰ τῆς ὑπογραφῆς του, διὰ μολυβδίδος, ἐπὶ τῆς ἐσωτερικῆς ἐπιφανείας τοῦ ξύλου τῆς προσθίας πινακίδος τῆς σταχώσεως: 33 (πρὸ τοῦ ἔτους 1951) καὶ 21/1951.

Ἀριθμὸς Ν. Βέη, κατὰ τὴν ἀπογραφὴν τοῦ ἔτους 1953, ἐπὶ τοῦ παραφύλλου Βα: 4/Ν.Α.Β. Ὁ κῶδιξ οὗτος, ὡς φαίνεται καὶ ἐκ τοῦ κτητορικοῦ του σημειώματος καὶ ἐξ ἄλλων ἐνθυμήσεών του, προέρχεται ἐκ τῆς Μονῆς Ρουσάνου, κατὰ δὲ τὴν καταγραφὴν τῶν κωδίκων τῆς ἐν λόγῳ μονῆς, τὴν γενομένην ὑπὸ τοῦ Ν. Βέη τὸ ἔτος 1909, εἶχε λάβει τὸν ἀριθμὸν 3 (ὡς τοῦτο συνάγεται ἐκ τοῦ περιεχομένου του καὶ ἐξ ἄλλων στοιχείων, συγκρινομένων πρὸς τὴν ἀνέκδοτον ἀναγραφὴν τοῦ Ν. Βέη τοῦ ἔτους ἐκείνου). Ὁ παλαιὸς οὗτος ἀριθμὸς δὲν ὑπάρχει σήμερον.

---

1. Βλ. V. Grumel, *La chronologie*, Paris 1958, σ. 258, 260, 261, 310.

Οἱ ἐκτὸς κειμένου πίνακες 5 καὶ 6 παρέχουν ἀντιστοίχως φωτογραφικὰ πανομοιότυπα τῶν φύλλων 57α καὶ 71β (δείγματα γραφῆς).

5

Χάρτης Διαστ. 0,285 × 0,190 Αἰὼν XIV Φύλλα Α' - Β' + 151

Ἑρμηνεία τῶν Ψαλμῶν τοῦ Δαβὶδ εἰς ἀρχαίαν γλῶσσαν. Ὁ κῶδιξ ἀκέφαλος, ἐλλιπὴς καὶ κολοβός.

Ἀρχ. (φ. 1α): Διὰ τ(αῦ)τ(α) εὐλόγησέ σε ὁ Θ(εὸ)ς εἰς τ(ὸν) αἰῶ(να): Ὁρᾶς π(ῶς) διόλου πρὸ(ς) τ(ὸν) Χ(ριστὸ)ν ἀποτείνετ(αι) ἔκδια . . . οὐδὲν (δὲ) περὶ γεννήσε(ως) αὐτοῦ [. . .] Τελ. (φ. 151β): Οἱ π(ατέ)ρες ἡμ(ῶν) ἐν Αἰγύπτω οὐ συνῆκαν τὰ θαυμάσιά σου: Οὐ μόνοι φη(σὶν) ἡμεῖς ἡμάρτομ(εν)· ἀλλ' εἴ τις ἐξετάση ἄνωθ(εν) ἀπὸ τ(ῶν) πρώτ(ων) χρόν(ων), εὕροι ἂν ἀναμάρτητ(ον) τυγχάνον τὸ ἡμέτερ(ον) γένο(ς)· πρώτ(ους) γε τ(οὺς) π(ατέ)ρας.

Ὁλόκληρος ὁ κῶδιξ γεγραμμένος ὑπὸ τῆς αὐτῆς χειρός, κατὰ δύο σελίδας (= στήλας). Γραφὴ καλλιγραφική, πυκνὴ καὶ σταθερά, ἐμπείρου βιβλιογράφου. Τὸ κείμενον χωρὶς ὀρθογραφικὰ σφάλματα. Διαστάσεις γεγραμμένης ἐπιφανείας τῶν φύλλων 0,230 × 0,165. Στίχοι 46. Βραχυγραφίαι καὶ ἐπιτμήσεις πολλαί. Τίτλοι (= τὰ χωρία τῶν ἑρμηνευομένων ψαλμῶν) ἐρυθρόγραφοι, ὡσαύτως καὶ ὀλίγα ἀρχικὰ κεφαλαῖα γράμματα ἐρυθρόγραφα. Αἱ ἐρυθρογραφίαι ὅμως αὗται ἔχουν καταστῆ, κατὰ τὸ πλεῖστον, ἐξίτηλοι ἐκ τῆς ὑγρασίας. Τὰ φύλλα 145β καὶ 146β ἄγραφα.

«Ὁ ἅγιος Σάβας ὁ στρατηλάτης λόγχαις ἔνθεν κἀκεῖθ(εν) κεντηθεὶς τελειοῦται».

Σάβας κατ' ἄμφω κλίσεως μέρη Σάβας,
ὅθεν κατ' ἄμφω νύττεται λόγχαις μέρη.

«Μνήμ(η) τ(ῆς) ὁσ(ίας) Ἄννης τ(ῆς) μετονομασθείσ(ης) Εὐφημί(ας)».
Ἀκολουθεῖ (φφ. 85α - 87α) συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ἡ ὁσία μ(ήτ)ηρ ἡμῶν Ἄννα, γεννᾶται ἐν τῷ Βυζαντίῳ παρὰ εὐλαβοῦς τινος διακόνου τοῦ ναοῦ τῶν Βλαχερνῶν [. . .]
(φ. 87α) Τελ.: [. . .] ἰάσεις τε καὶ θαύματα οὐκ ὀλίγα τοῖς προσιοῦσι χαρισαμ(έν)η, πρὸς Κ(ύριο)ν ἐξεδήμησ(εν).

λ' «Μη(νὶ) τῷ αὐτ(ῷ) λ'. Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων) κ(αὶ) αὐταδέλφων· Ζηνοβίου κ(αὶ) Ζηνοβίας».

Συγκαρτερεῖ σοι Ζηνόβιε τὸ ξίφος,
ἡ καρτερόφρων κἂν γυνὴ Ζηνοβία.
Τμήθη Ζηνοβίη κ(αὶ) ἀδελφὸς ἐν τριακοστῇ.

1. ἀναπαύσατο cod.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· εὐσεβῶν γεννητόρων τέκνα [. . .]
Τελ.: [. . .] διατηρηθέντες οὖν τῇ Χ(ριστο)ῦ χάριτ(ι) ἀβλαβεῖς, τ(ὴν) διὰ ξίφους δέχοντ(αι) τελευτ(ήν).

«Μνήμ(η) τ(ῆς) ἁγί(ας) Μελιτιν(ῆς)· (καὶ) τοῦ ἁγίου Μαρκιανοῦ ἐπισκό-π(ου) Συρακούσ(η)ς, μαθητοῦ τοῦ ἁγ(ίου) ἀπο(στόλ)ου Πέτρου».

Χ(ριστο)ῦ τὸν εὔνουν Μαρκιανὸν οἰκέτην
διὰ βρόχου κτείνουσιν οἱ χριστοκτόνοι.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος χειροτονηθεὶς ὑπὸ Πέτρου τοῦ ἀποστόλου, ἀπεστάλη ἐν Συρακούσαις τῆς Σικελίας [. . .]
Τελ.: [. . .] οἱ Ἰουδαῖοι μὴ ἐνεγκόντες τὴν παρρησίαν αὐτοῦ, κτείνουσιν αὐτὸν θανάτῳ βιαίῳ.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων)· Ἀλεξάνδρου· Κρονίωνος· Ἰουλιανοῦ· Μακαρίου· κ(αὶ) ἑτέρων ιγ'».

Σὺν Ἀλεξάνδρῳ τῆς τιτάνου τὸ ζέον
φέρει Κρονίων· υἱὸν οὐ σέβων Κρόνου.

Ἰουλιανὸς κ(αὶ) Μακάριος ξίφει
(φ. 87β) ζωὴν ἐφεῦρον τὴν μακαριωτάτην.

Οὐ πῦρ ἀναφθὲν οὐ ξίφος θηχθὲν λόγε,
δὶς πέντε κ(αὶ) τρεῖς ἄνδρας ἐκ σοῦ χωρίσει.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τῆς ἁγί(ας) μ(άρτυ)ρος Εὐτροπίας».

Τὴν Εὐτροπίαν οἵαν νύμφην λαμπάδες
προὔπεμπον οἴκῳ τοῦ νοητοῦ νυμφίου.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη διεβλήθη τῷ ἡγεμόνι Ἀπελιανῷ ὡς χριστιανή· ὡς ἀσχολουμένη ἐν ταῖς φυλακαῖς [. . .]
Τελ.: [. . .] ἐν αὐταῖς ταῖς βασάνοις παρέδωκε τὸ πν(εῦμ)α.

«Μνήμ(η) τοῦ ἁγ(ίου) ἀπο(στόλ)ου Κλεόπα· (καὶ) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰωσὴφ πατριάρχ(ου) Κωνστ(αν)τινουπόλε(ως)· (καὶ) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων)· Ἀστερίου· Κλαυδίου· Νέωνος· καὶ τῆς ἀδελφῆς αὐτ(ῶν) Νεονίλλης».

Κλαύδιος, Ἀστέριος ἀλλὰ κ(αὶ) Νέων,
ἀθλοξίφους ὤφθησ(αν) ἀστέρες νέοι.

Ἐπὶ ξύλου ταθεῖσα κ(αὶ) Νεονίλλα,
ξύλου παλαιὰν ἐξερεύγεται βλάβ(ην).

᾿Ακολουθεῖ (φφ.87β - 88β) συναξάριον τῶν μαρτύρων.

῎Αρχ.: ᾿Εν ὑπατείᾳ Διοκλητιανοῦ τὸ πρῶτον, ἡγεμονεύοντος Λυσία τῆς Κιλικίας, ἦσαν οἱ ἅγιοι οὗτοι χριστιανοὶ [. . .]
(φ. 88β) Τελ.: [. . .] ἔξω τοῦ τείχους καρατομήσαντες οἱ στρατιῶται, βορὰν τοῖς θηρίοις ἔρριψαν· (καὶ) οὕτως ἐτελειώθησαν οἱ ἅγιοι καὶ καλλίνικοι τοῦ Χ(ριστο)ῦ μάρτυρες κ(αὶ) αὐτάδελφοι.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος ἀπόστολος ᾿Αριστόβουλος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ψυχὰς ᾿Αριστόβουλος ἐγείρας λόγοις,
Θ(ε)ῷ πρόσεισι μισθὸν αἰτῶν τῆς ἄγρας.

λα΄. «Μη(νὶ) τῷ αὐτ(ῷ) λα΄. Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος ᾿Επιμάχου».

Οὐ δειλὸς ᾿Επίμαχος ὤφθη πρὸς ξίφος,
ἀπροσμάχητον σύμμαχον Θ(εὸ)ν φέρων.
Πρώτῃ ἐν τριακοστῇ ᾿Επιμάχου αὐχένα κέρσαν.

᾿Ακολουθεῖ συναξάριον τοῦ μάρτυρος.

῎Αρχ.: Οὗτος λίαν ὡραῖος τὴν ὄψιν ἦν· (καὶ) ἐν ἀγρῷ τὴν οἴκησιν ἔχων [. . .]
(φ. 89α) Τελ.: [. . .] ὕστερον δὲ καὶ ὁ ἅγιος ξίφει τὴν κεφαλὴν ἀποτέμνεται.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τ(ῶν) ἁγί(ων) ἀπο(στό)λ(ων)· Στάχυος· ᾿Αμπλία· Οὐρβανοῦ (καὶ) Ναρκίσσου».

Στάχυς δρεπάνῳ τῆς τελευτῆς, ὡς στάχυς
ἐκ τοῦ παρατρέχοντος ἐκθερίζετ(αι) βίου.

Σιγᾷ στερήσει πν(ευμάτ)ων ὡς κολλάβων,
ἡ τετράχορδος τῶν ἀποστόλ(ων) λύρα.

᾿Ακολουθεῖ σύντομον συναξάριον τῶν ἀποστόλων.

῎Αρχ.: Τούτων, ὁ μὲν ἅγιος ἀπόστολος Στάχυς προχειρίζεται τοῦ Βυζαντίου ἐπίσκοπος παρὰ ᾿Ανδρέου τοῦ ἀποστόλου [. . .]
Τελ.: [. . .] ὁ δὲ Νάρκισσος διαφόρως βασανισθείς, παρέδωκε καὶ αὐτὸς τὴν ψυχ(ὴν) τῷ Θ(ε)ῷ· δι' ὃν καὶ τὸ αἷμα αὐτοῦ προθύμως ἐξέχεε.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) διήγησις Θεοδωρήτου ἐπισκόπ(ου)· περὶ βίου καὶ ἀθλήσεως ὁμολογητοῦ τινος ἀνωνύμου».

῎Αρχ.: ᾿Εν ταῖς ἡμέραις τοῦ ἀποστάτου ᾿Ιουλιανοῦ, νέος τις ἱερέως υἱὸς δυσσεβῶς ἀνατραφείς, εἰς τὸν τῶν εὐσεβῶν μετέστη χορὸν [. . .]
(φ. 89β) Τελ.: [. . .] καὶ πολλοὺς πρὸς εὐσέβειαν ὁδηγήσας, μετῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τῶν ἁγί(ων) μ(αρτύ)ρ(ων)· Στεφάνου· Βαρνάβα· Τροφίμ(ου)· Δορυμέδοντος· Κοσμᾶ· Δαμιανοῦ· Βάση· ᾿Αβραμίου· (καὶ) τῆς συνοδ(είας) αὐτ(ῶν)· καὶ τοῦ ἁγ(ίου) μ(άρτυ)ρος παιδός, ὃς τὴν κεφαλὴν λίθῳ τρωθεὶς τελ(ειοῦ)τ(αι)».

Κουράλλιόν σοι λίθον ὡς δῶρον[1] φέρει
παῖς τὴν κεφαλὴν ἡματωμένην λίθῳ.

«Αἱ ἅγιαι ιβ' κόραι ἐν μέσ(ῳ) τῆς στοᾶς κρεμασθεῖσαι τε(λειοῦνται)».

Ὡροσκοπεῖον[2] τὸ στοᾶς μέσον ξύλ(ον),
τὰς δώδεκα προΐσχεν ὡς ὥρας κόρ(ας).

«Τέλος τοῦ ὀκτωβρίου μηνός: +»

Γ' (φ. 90α) «Μ ὴ ν Ν ο έ μ β ρ ι ο ς ἔχων ἡμέρας λ'· ἡ ἡμέρα ἔχει ὥρας ι'· καὶ ἡ νὺξ ὥρας ιδ'».

α' «Εἰς τὴν α'. Μνήμ(η) τῶν ἁγί(ων) καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ».

Εἰ καὶ παρῆκαν γῆν Ἀνάργυροι δύο,
πληροῦσιν ὡς πρὶν καὶ πάλιν γῆν θαυμ(ά)τ(ων).
Πρώτῃ ἀκέστορε φῶτε νοεμβρίου ἔκπτατ(ον) ἐκ γ(ῆς).

Ἀκολουθεῖ συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι εἷλκον τὸ γένος ἐκ τῆς Ἀσιάτιδος γῆς· π(ατ)ρ(ὸ)ς μὲν ὑπάρχοντες Ἕλληνος· μ(ητ)ρ(ὸ)ς δὲ χριστιανῆς [. . .]
Τελ.: [. . .] ἐν εἰρήνῃ τελειωθέντες, κατετέθησαν τὰ τίμια αὐτ(ῶν) λείψανα ἐν τόπῳ λεγομένῳ Φερεμάν.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων) γυναικ(ῶν)· Κυριαίνης· (καὶ) Ἰουλιανῆς».

Καὶ Κυρίαινα πρὸς τὸ πῦρ ἀποπνέει,
πάσης πνοῆς τιμῶσα Κ(ύριο)ν μέγαν.

Τῷ πρὸς σὲ φίλτρῳ σ(ῶτ)ερ ἐκκεκαυμένη,
Ἰουλιανὴ καῦσιν ἐκ πυρὸς φέρει.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Αὗται ἤθλησαν ἐπὶ Μαξιμιανοῦ βασιλέως· ὑπῆρχεν οὖν ἡ μὲν Κυρίαινα ἐκ Ταρσοῦ τῆς Κιλίκων ἐπαρχίας [. . .]
Τελ.: [. . .] τῷ πυρὶ παραδίδοντ(αι)· (καὶ) οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Κ(αι)σαρίου· Δασίου· (καὶ) ἑτέρων πέντε».

Σὺν ἓξ συνάθλοις τῆς ἀληθείας φίλοις,
τέμνουσι Καισάριον οἱ ψεύδους φίλοι.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) ἱερομ(αρτύ)ρ(ων) Ἰω(άννου) ἐπισκόπου· (καὶ) Ἰακώβου πρεσβυτέρου».
Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

1. δώρῳ cod.
2. πρὸσκοποιὸν cod.

"Αρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου βασιλέ(ως) Περσῶν· τὸν τῆς πίστεως διδάσκοντες λόγον [. . .]
(φ. 90β) Τελ.: [. . .] ὕστερον διὰ ξίφους ἐτελειώθησαν· (καὶ) τῷ Κ(υρί)ῳ τὰ ἑαυτῶν παρέθεντο πν(εύματ)α.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγίου μ(άρτυ)ρος Ἑρμινιγγίλδου».

Ἑρμινίγγιλδος ἐκπλυθεὶς[1] βαφὴν πλάνης,
σφαγὴν ὑποστὰς βάπτεται λύθρου κόχλῳ.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

"Αρχ.: Οὗτος π(ατ)ρ(ὸ)ς μὲν ἔφυ Λιουβιγγίλδου· ῥηγὸς τῶν Οὐϊσιγότθων [. . .]
Τελ.: [. . .] Ἑρμινίγγιλδον συγχωρεῖ ὑπὲρ τῆς εὐσεβείας σφαγῆναι· (καὶ) ἅπαν τὸ ἔθνος τῇ ὀρθοδόξῳ πίστει προστίθεται.

«Οἱ ἅγιοι μ(άρτυ)ρ(ες)· Κυπριανὸς κ(αὶ) Ἰουλιανὴ πυρὶ τελειοῦνται».

Ἰουλιανὴν καρτεροῦσαν πῦρ βλέπων,
συγκαρτερῶν ἦν Κυπριανὸς γεννάδας.

«Αἱ ἅγιαι μ(άρτυ)ρ(ες)· Κυριακή· Δόμνα· (καὶ) Δομνῖνα· ξί(φ)ει τε(λειοῦνται)».

Κυριακή, Δομνῖνα καὶ σεπτὴ Δόμνα,
ὡς σεπτὸν ἐκ ξίφους αἱ τρεῖς εὗρον τέλος.

β' «Μη(νὶ) τῷ αὐτ(ῷ) β'. Τ(ῶν) ἁγ(ίων) μ(αρτύ)ρ(ων)· Ἀκινδύνου· Πηγασίου· Ἀφθονίου· Ἐλπιδοφόρου καὶ Ἀνεμποδίστου».

Ἀκίνδυνον πῦρ, τοὺς δὲ λοιποὺς ἑταίρους[2],
οὓς μὲν τὸ πῦρ ἔκτεινεν, οὓς δὲ τὸ ξίφος.
Δευτερίῃ Ἀφθονίῳ κ(αὶ) τέτταρσι πῦρ, ἄορ ἆθλος.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

"Αρχ.: Οὗτοι οἱ ἅγιοι τῆς Περσῶν γῆς ὄντες (καὶ) τὰ πρῶτα παρὰ Σαβωρίῳ βασιλεῖ Περσῶν φέροντες [. . .]
(φ. 91α) Τελ.: [. . .] ὅθεν καμίνῳ πυρὸς ἐμβληθέντες, τέλος ἐδέξαντο τῆς ἀθλήσεως.

«Οἱ ἀπὸ τ(ῆς) συγκλήτου βουλῆς ἅγιοι ξίφει τελειοῦντ(αι)».

Συγκλητικοὶ ποθοῦντες ἄφθαρτον γέρας,
συγκλητικὰ τμηθέντες ἀρνοῦνται γέρα.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(ῃ) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μαρκιανοῦ τοῦ ἐν τῇ Κύρῳ».
Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

"Αρχ.: Οὗτος ὁ ὅσιος π(ατ)ὴρ ἡμῶν Μαρκιανὸς π(ατ)ρίδα μὲν ἔσχε τὴν Κύρον· μετὰ δὲ ταῦτα τὴν ἔρημον [. . .]
(φ. 91β) Τελ.: [. . .] τὸ σῶμα αὐτοῦ ἐν ἀποκρύφῳ τόπῳ κατακρύψαι τῆς καλύβης αὐτοῦ· (καὶ) οὕτω διαθέμ(εν)ος, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

1. ἐκπληθὺς cod.
2. ἑταίρους: ἑτέρους cod.

γ' «Μη(νὶ) τῷ αὐτ(ῷ) γ'. Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων)· Ἀκεψιμᾶ· Ἀειθαλᾶ· (καὶ) Ἰωσήφ».

Ἀκεψιμᾶν κτείνουσιν ἐκ ῥαβδισμάτων,
Ἀκεψιμᾶ δὲ τοὺς φίλους ἐκ λευσμάτ(ων).
Τύψαν Ἀκεψιμᾶν τριτάτῃ, λεῦσ(αν) δὲ συνάθλους.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου βασιλ(έως) Περσ(ῶν)· (καὶ) συσχεθέντες παρίστανται Ἀνδραχοσχὰρ τῷ ἀρχιμαγείρῳ εἰς ἐξέτασιν [. . .]
(φ. 92α) Τελ.: [. . .] (καὶ) τυφθείς, κρεμᾶται καὶ αὐτὸς κατὰ κεφαλῆς· καὶ οὕτω τὸ πν(εῦμ)α τῷ Κ(υρί)ῳ παρέδωκεν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀκεψιμᾶ».

Τήξας ἑαυτὸν ἐγκρατείᾳ καὶ πόνοις,
Ἀκεψιμᾶς μετῆλθεν ἔνθα μὴ πόνοι.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Θεοδοσίου τοῦ μεγάλου· ὃς ἐν οἰκίσκῳ καθείρξας ἑαυτόν, ἑξήκοντα διετέλεσεν ἔτη μήτε ὁρώμενος [. . .]
Τελ.: [. . .] (καὶ) τὴν τοῦ πρεσβυτέρου ἀξίαν βίᾳ καταδεξάμ(εν)ος, ἐν εἰρήνῃ βαθείᾳ τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρέθετο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) (καὶ) ὁμολογ(η)τ(οῦ) Θεοδώρου, ἐπισκόπου Ἀγκύρ(ας)· (καὶ) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων) Σεβήρου· Ἀνδρωνᾶ· Θεοδότου· (καὶ) Θεοδότης· ξίφει τελειωθέντ(ων)».

Συμμάρτυς ἔστω καὶ γυνή τις ἀνδράσιν,
τετμημένοις τέτταρσι συντετμημένη.

«Ὁ ὅσιος π(ατ)ὴρ ἡμ(ῶν) Ἡλί(ας) ἐν εἰρήνῃ τελειοῦται».

Τῶν ἀρετῶν εἰς ἅρμα προβὰς Ἠλία,
πόλῳ προσῆλθες ὥσπερ ἄλλος Ἠλίας.

«Οἱ ἅγιοι ἐννέα μάρτυρες ξίφει τελειοῦνται».

Ψυχαῖς ἀτρέπτοις χερσὶ τμηθέντες πλάν(ων),
πλάνην περιτρέπουσιν ἄνδρες ἐννέα.

«Οἱ ἅγιοι κη' μάρτυρες πυρὶ τελειοῦνται».

Φλέγουσιν ἄνδρας πέντε δὶς κ(αὶ) δὶς δύο,
οἷς συμφλέγουσι πέντε δὶς καὶ δὶς δύο.

δ' «Μη(νὶ) τῷ αὐτ(ῷ) δ'. Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰωαννικίου τοῦ μεγάλου ἐν τῷ Ὀλύμπῳ».

Τὸν Ἰωαννίκιον ἐκ γῆς λαμβάνει
ὁ τῷ λόγῳ γῆν τοῦ Θ(εο)ῦ πήξας λόγος.
Σῆμά σοι ἔν γε τετάρτῃ Ἰωαννίκιε χεῦσ(αν).

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἄρχ.: Οὗτος ὁ μακάριος γεννᾶται τῷ εἰκοστῷ τετάρτῳ ἔτει τῆς τοῦ Κοπρωνύμου Λέοντος τυραννίδος· χώρας μὲν φὺς τῶν Βιθυνῶν [. . .]
(φ. 92β) Τελ.: [. . .] (καὶ) πλήρ(ης) ἡμερῶν γενόμενος, ἀνεπαύσατο ἐν Κ(υρί)ῳ· ἐτῶν ὑπάρχων ἐνενηκοντατεσσάρ(ων).

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Πορφυρίου».

Ὁ Πορφύριος εὐστόλιστος ἐκ ξίφους,
λαμπρὰν στολισθεὶς πορφύραν τ(ῶν) αἱμ(ά)τ(ων).

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἄρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Αὐρηλιανοῦ· ἐκ τῆς Ἐφεσίων πόλεως ὁρμώμενος [. . .]
Τελ.: [. . .] ἐπεὶ μὴ τὰ τῶν χριστιανῶν ἐξωμόσατο, ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀποτέμνει.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) διήγησις εἰς τ(ὸν) θρῆνον τοῦ προφήτου Ἱερεμίου περὶ τ(ῆς) Ἰ(ερουσα)λὴμ· (καὶ) εἰς τ(ὴν) ἅλωσ(ιν) ταύτης· (καὶ)περὶ τ(ῆς) ἐκστάσε(ως) Ἀβιμέλεχ» (BHG 778).

Ἄρχ.: Ἱερεμίας οὗτος ὁ μέγας προφήτης ἐξ Ἀναθὼθ τυγχάνων τῆς κώμης, περὶ Ἰ(ερουσα)λὴμ (καὶ) Βαβυλῶνος πολλὰ προηγόρευσεν [. . .]
(φ. 97α) Τελ.: [. . .] τῆς δὲ παρουσίας Χ(ριστο)ῦ ἔσται τὸ σημεῖον. ὅταν ἔθνη πάντα προσκυνήσουσι ξύλον· δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θ(εὸ)ν ἡμ(ῶ)ν [. . .] ἀμήν.

ε' «Μη(νὶ) τῷ αὐτ(ῷ) ε'. Μνήμ(η) τῶν ἁγί(ων) μαρτ(ύ)ρ(ων) Γαλακτίωνος καὶ Ἐπιστήμης».

Ἀσυνδυάστους συζύγους κτείνει ξίφος,
τὴν ψυχικὴν σύζευξιν ἠγαπηκότας.
Τμήθη Γαλακτίων, Ἐπιστήμη τ' ἐνὶ πέμπτῃ.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἄρχ.: Γαλακτίων καὶ Ἐπιστήμη ὑπῆρχον ἐπὶ τῆς βασιλείας Δεκίου κ(αὶ) Σεκούνδου ἡγεμόνος [. . .]
Τελ.: [. . .] (καὶ) μαχαίρᾳ χεῖρας κ(αὶ) πόδ(ας) ἀκρωτηριάζεται ἅμα τῇ ἁγίᾳ Ἐπιστήμῃ· καὶ τελευταῖον τὰς κεφαλὰς ἀποτέμνονται· ἦν δὲ ὁ ἅγιος ἐτῶν λ'· (καὶ) ἡ ἁγία δεκαέξ.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) ἀπο(στόλων) ἐκ τ(ῶν) ο'· Ἑρμοῦ· Λίνου· Γαΐου· (καὶ) Φιλολόγου· (καὶ) Πατρωβᾶ».

(φ. 97β) Ἑρμᾶς, Πατρωβᾶς καὶ Γάϊος, τρεῖς ἅμα
ἀπόστολοι θνήσκουσιν, οἷς τριὰς φίλη.

Καθεὶς Ἰ(ησοῦ)ς γνώσεως θείας λίνον,
ζωγρεῖ σε Λίνε καὶ μεθιστᾷ τοῦ βίου.

Φιλόλογος φιλῶν σε τὸν Θ(εὸ)ν λόγον,
πληροῖ λόγους σοὺς (καὶ) θανὼν σύνεστί σοι.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἄρχ.: Οὗτοι πάντες ὑπῆρχον ἐκ τῶν ο' μαθητῶν τοῦ Χ(ριστο)ῦ [. . .]

Τελ.: [. . .] (καὶ) πολλοὺς διδάξαντες κ(αὶ) τῷ Χ(ριστ)ῷ προσαγαγόντες, ἐτελειώθησαν ἐν Κ(υρί)ῳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος Δομνῖνος πυρὶ τελειοῦται».

'Ανασκοπῶν πῦρ τῆς γεέννης Δομνῖνος,
τὸ τῇδε πῦρ ἔφριττεν οὐ μενοῦν ὅλως.

«Οἱ ἅγιοι Θεότιμος· Θεόφιλος (καὶ) Τιμόθεος πυγμ(αῖς) τε(λειοῦνται)».

Τὸν Τιμόθεον καὶ συναθλητὰς δύο
κτείνουσι πυγμαὶ καὶ Θ(εο)ῦ τιμᾷ λόγος.

«Ὁ ἅγιος Δωρόθεος θηρίοις ἐκδοθεὶς τελειοῦτ(αι)».

Ὁ Δωρόθεος ἐκδοθεὶς τοῖς θηρίοις,
δῶρον προσήχθη τῷ Θ(ε)ῷ προσδεκτέον.

«Οἱ ἅγιοι Εὔψυχος (καὶ) Καρτέριος τὰ αἰδοῖα τμηθέντες τε(λειοῦνται)».

Αἰδοῖα Καρτέριος ἐκτετμημένος,
σὺν Εὐψυχίῳ καρτεροψύχως φέρει.

«Ὁ ἅγιος Σιλβανός, εἰς μέταλλα βληθείς, τε(λειοῦται)».

Ἐν τοῖς μετάλλοις Σιλβανὸς βεβλημ(έν)ος,
λείπει μέταλλα[1] καὶ μεταλλάττει βίον.

«Ὁ ἅγιος Πάμφιλος, ξεσθεὶς κ(αὶ) φυλακισθ(είς), τε(λειοῦται)».

Φρουρᾷ δεσμευθεὶς (καὶ) πρὸ τ(ῆς) φρουρᾶς ξέσει,
διπλοῦν λάβοι Πάμφιλος εἰκότως στέφος.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ τυράννου· πολλὰ γοῦν καὶ πρὸ τῆς τοῦ μαρτυρίου τελειώσεως ὁ μακάριος Δομνῖνος ἐναθλήσας [. . .]
(φ. 98α) Τελ.: [. . .] τὸ τέλος τῆς μαρτυρίας εὕραντο τελειωθέντες ἐν Χ(ριστ)ῷ.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Γρηγορίου ἀρχ(ι)επισκόπ(ου) Ἀλεξανδρείας».
Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Γρηγόριος ἐκ νεαρᾶς ἡλικίας τὸν Χ(ριστὸ)ν ἀγαπήσ(ας), κατεκόσμησεν ἑαυτὸν [. . .]
Τελ.: [. . .] (καὶ) ἐπὶ χρόνοις τρισὶν ἐκεῖσε διαρκέσας, εἰς χεῖρας Θ(εο)ῦ τὴν ψυχὴν παρέθετο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) Ἀγαθαγγέλου· ξίφει τελειωθέντος».

Χρηστάγγελός τις ψῆφος Ἀγαθαγγέλῳ
ἡ τῆς τελευτῆς ψῆφος ἦν ἐκ τοῦ ξίφους.

1. μετάλλα cod.

ϛ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ϛ'. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Παύλου τοῦ ὁμολογητοῦ».

Τὴν εἰς φάρυγγα Παῦλος αὐχῶν ἀγχόν(ην),
(φ. 98β) λύει φάραγξι[1] ῥευμάτων τὴν ἀγχόνην.
Οὕνεκα ὡμολόγει Παῦλος Θ(εό)ν, ἄγχεται[2] ἕκτῃ.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Παῦλος ὁ ὁμολογητὴς ὑπῆρχεν ἐκ τ(ῆς) Θεσσαλονίκης· νοτάριος γενόμ(εν)ος Ἀλεξάνδρου τοῦ ἁγιωτάτου π(ατ)ριάρχου [. . .]
Τελ.: [. . .] ἀπεπνίγη παρὰ τῶν Ἀρειανῶν μετὰ τοῦ ἰδίου ὠμοφορίου, παραδοὺς τ(ὴν) ψυχ(ὴν) τῷ Κ(υρί)ῳ.

«Μνήμ(η) τ(ῆς) μετὰ φιλαν(θρωπί)ας κατενεχθείσης κόνε(ως) ἐπὶ Λέοντος τοῦ μεγάλου».

Ἀκολουθεῖ τὸ σχετικὸν συναξάριον.

Ἀρχ.: Τῷ ὀκτωκαιδεκάτῳ[3] ἔτει τῆς αὐτοκρατορίας αὐτοῦ· πέμπτῃ τοῦ νοεμβρίου μηνός· περὶ τὰς μεσημβρινὰς ὥρ(ας) ἅπας ὁ οὐ(ρα)νὸς συννεφὴς γεγονὼς [. . .]
(φ. 99α) Τελ.: [. . .] καταφλέγουσαν τῶν ἐμπιπτόντων σὺν τοῖς σώμασι καὶ τὰς ψυχάς· (καὶ) τῆς βασιλείας τῶν οὐ(ρα)νῶν ἐπιτύχωμ(εν).

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ μακάριος Λουκᾶς ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ἀρεστὰ Λουκᾶ τῷ Θ(ε)ῷ πράξας λόγῳ,
τῆς εὐαρέστων ἐκθανὼν μοίρας γίνῃ.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος Λουκᾶς ἐκ πόλεως ὥρμητο Ταυρομενίας τῆς Σικελ(ῶν) ἐπαρχίας· νέαν δὲ ἄγων τὴν ἡλικί(αν) [. . .]
(φ. 99β) Τελ.: [. . .] (καὶ) ἔν τινι κώμῃ οἰκήσας οὐ πλείους μην(ῶν) ἑπτά, ἐν εἰρήνῃ ἐκοιμήθη.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος Παῦλος, ὁ διὰ Χ(ριστὸ)ν σαλό(ς), ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ὑποκριθεὶς ὁ Παῦλος ἐν γῇ μωρίαν,
χορῷ θανὼ<ν> σύνεστι τῶν θεοφρόνων.

ζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ζ'. Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων) τ(ῶν) ἐν Μελιτηνῇ· Ἱέρακος [sic] (καὶ) τ(ῶν) λοιπ(ῶν)».

Ὢ πῶς Ἱέρων οὐδὲν ἐξ εὐτολμίας,
ἄτολμον εἶδεν οὐδ' ἀγενὲς πρὸ(ς) ξίφος.
Οὐδ' ἔλαθ' ἑβδομάτῃ Ἱέρων ξίφει αὐχένα τμήθη.

1. φάρυγξιν cod.
2. ἄγεται cod.
3. ὀκτωκαιδεκάτει cod.

Διὰ ξίφους ἀνεῖλον ἄνδρας τρ(ὶς) δέκα,
ἄνδρες πονηροὶ (καὶ) μίαν ξυνωρίδα.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι ἤθλησαν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέ(ων)· ἦν δὲ οὗτος ὁ Ἱέρων ἀνδρεῖος κατὰ τὸ σῶμα [. . .]
Τελ.: [. . .] ἐφ' ἱκανὰς ὥρας ῥαβδισθέντες τὰ σώματα, ἔξω τῆς πόλεως Μελιτηνῆς τὰς κεφαλὰς ἀποτέμνονται.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων)· Μελασίππου· Κασίνης· κ(αὶ) Ἀντωνίου».

Οὐ σάρκες ἦσαν· ἀλλ' ἄσαρκός τ(ις) φύσις
ὁ Μελάσιππος πρὸς ξέσεις κ(αὶ) Κασίνη.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ἤθλησαν ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου ἐν Ἀγκύρᾳ τῇ πόλει· τὴν πίστ(ιν) ὄντες χριστιανοὶ [. . .]
(φ. 100α) Τελ.: [. . .] (καὶ) πολλοὺς τῷ θαύματι πρὸς τὴν πίστιν ἐφελκυσάμενος, ἐτμήθη τὴν κεφαλήν.

«Ὁ ἅγιος Ἀντώνιος, μετὰ πολλὰς τιμωρίας, ξίφει τελειοῦται».

Στὰς Ἀντώνιε τὴν τομὴν χαίρων δέχου,
καὶ δέξεταί σε τῆς χαρᾶς θεῖος τόπος.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων)· Αὔκτου· Ταυρίωνος· κ(αὶ) Θεσσαλονίκ(ης)».

Ἐφεῦρεν Αὔκτος, Ταυρίων εὐκτὸν τέλος,
ξίφει τμηθέντες οἷα ταῦροι Κ(υρίο)υ.

Φυγὴν κατακριθεῖσα π(ατ)ρῴου πέδου,
πέδον χλόης ᾤκησε Θεσσαλονίκη.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Ἀθηνοδώρου».

Ἐκ γῆς καλοῦσιν Ἀθηνόδωρον νόες,
πρὸς τὰς νοητὰς δωρεὰς τοῦ Κ(υρίο)υ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) Γρηγ(ο)ρ(ί)ου ἀδελφοῦ τοῦ θαυματουργοῦ».
«Ὁ ἅγιος μάρτυς Ἀλέξανδρος ἐκ Θεσσαλον(ίκης) ξί(φει) τε(λειοῦται)».

Ὁ Θετταλῶν γῆς Ἀλέξανδρος φὺς κλάδος,
ἀθλήσεως ἥπλωσεν ἐκτμηθεὶς κλάδους.

η' «Μη(νὶ) τῷ αὐτ(ῷ) η'. Ἡ σύναξις τοῦ ἀρχιστρατήγ(ου) Μιχαήλ».

Ἐβουλόμην σοι Μιχαὴλ ᾆσμα πρέπον
ᾆσαι πρεπόντως· ἀλλὰ αὐλὸν[1] οὐκ ἔχω.
Ὀγδοάτη οὐ(ρα)νίοις κυδαίνει τάγμ(α)σιν[2] ἄρχων.

1. ἀλλὰ αὐλόν: ἀλλὰ ὕλον cod.
2. τάγματος cod.

«Εἰς τ(ὴν) σύναξ(ιν) τ(ῶν) θ' ταγμ(ά)τ(ων)· σεραφίμ· χερουβίμ· θρόνων· κυριοτήτων· ἐξουσιῶν· ἀρχῶν· δυνάμεων· ἀρχαγγέλων· (καὶ) ἀγγέλων».

Ἐπάξιόν τι ταγμάτων τῶν ἐννέα
τίς ἂν γόνος φθέγξαιτο μηνῶν ἐννέα;

Ἀκολουθεῖ συναξάριον τοῦ ἀρχαγγέλου Μιχαήλ.

Ἀρχ.: Μιχαὴλ ὁ διαπρεπέστατος ταξιάρχ(η)ς τῶν ἀσωμάτων δυνάμεων· ἐν τῇ παλαιᾷ διαθήκῃ [. . .]
(φ. 100β) Τελ.: [. . .] ἐν δὲ τῷ μέλλοντ(ι), τῆς ἐπου(ρα)νίου τάξεως κ(αὶ) χάριτος καταξιωθῆναι.

θ' «Μη(νὶ) τῷ αὐτ(ῷ) θ'. Μνήμ(η) τῆς ὁσ(ίας) μ(ητ)ρ(ὸ)ς ἡμ(ῶν) Ματρώνας».

Ζωῆς μενούσης ἀξιοῦται Ματρῶνα,
ὡς ἐν βίῳ ζήσασα ταύτης ἀξίως.
Τῇ δ' ἐνάτ(ῃ) τύμβοιο Ματρῶναν δέξατο χώρη.

Ἀκολουθεῖ συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ὑπῆρχεν ἐπὶ Λέοντος τοῦ μεγάλου βασιλέως· ἐκ Πέργης τῆς Παμφυλίας· (καὶ) συναφθεῖσα ἀνδρὶ (καὶ) μιᾶς παιδὸς μ(ήτ)ηρ γενομένη [. . .]
(φ. 101β) Τελ.: [. . .] ἐν ᾧ κειμένην εὗρεν αὐτήν, δοξάζων καὶ εὐλογῶν τὸν Θ(εό)ν.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) γυναικ(ῶν) Εὐστολίας κ(αὶ) Σωπάτρας».

Ὅλη κ(αὶ) καλὴ σὺ πρὸς Θ(εὸ)ν χωρεῖς[1] λόγον,
στολαῖς σταλεῖσα ψυχικαῖς Εὐστολία.

Σωπάτρα πατρός, πν(εύματό)ς τε καὶ λόγου
θρόνῳ παρέστη, δοῦσα γῇ τὸ σαρκίον.

Ἀκολουθεῖ συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Ἡ ἁγία Εὐστολία ὑπῆρχεν ἐπὶ Μαυρικίου βασιλέως· γονέων εὐσεβῶν (καὶ) τὴν Ῥώμην οἰκούντων [. . .]
(φ. 102α) Τελ.: [. . .] κ(αὶ) εἰς ἄκρο(ν) ἀρετῆς φθάσασα, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Μνήμ(η) τοῦ ἁγίου μάρτυρος Ἀντωνίου».

Ἀντώνιον κτείνουσι τὸν θεῖον ξύλοις,
οἱ τὸ ξύλον τιμῶντες ὡς Θ(εὸ)ν πλάνοι.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ τῆς Σύρων χώρας· λιθοτόμος τὴν τέχνην [. . .]
Τελ.: [. . .] τοῖς ξίφεσι μεληδὸν τοῦτον κατέκοψαν· (καὶ) οὕτω τὸ πν(εῦμ)α τῷ Κ(υρί)ῳ παρέθετο.

«Ὁ ἅγιος Χριστοφόρος κ(αὶ) Μαύρα ξίφει τε(λειοῦνται)».

Πλάνην ἀμαυροῖ Μαύρα τμηθεῖσα ξίφει,
Χ(ριστο)ῦ δὲ τμηθεὶς φῶς ὁρᾷ Χριστοφόρος.

1. χωρὶς cod.

«Ὁ ὅσιος Ἰω(άννης) ὁ Κολοβὸς ἐν εἰρήνῃ τελειοῦται».

Ἰωάννην ἔκρυψε γῆς βραχὺς τόπος,
ὃς κἂν βραχὺς τὸ σῶμα, τ(ὴν) πρᾶξ(ιν) μέγας.

«Ὁ ὅσιος Ἑλλάδιος ἐν εἰρήνῃ τελειοῦται».

Εἰ καὶ μετέστης Ἑλλάδιε τοῦ βίου,
πίναξ ἔμεινας ἀρετῶν τοῖς ἐν βίῳ.

ι′ (φ. 102β) «Μη(νὶ) τῷ αὐτ(ῷ) ι′. Μνήμ(η) τοῦ ἁγίου μ(άρτυ)ρος Ὀρέστου».

Ἀθλητικῶν Ὀρέστα σῶν ἱππασμάτων,
νικητικὰ βραβεῖα πολλὰ προ(σ)δόκα.
Ἀγρίῳ ἀμφιδεθεὶς δεκάτῃ <θέεν> ἵππῳ Ὀρέστης.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ὑπῆρχεν ἐκ πόλεως Τυάνων, χώρας Καππαδοκίας· ὁμολογῶν δὲ τὸν Χ(ριστὸ)ν ἐκρατήθη [. . .]
Τελ.: [. . .] (καὶ) ἑλκυσθεὶς μίλια εἰκοσιτέσσαρα ἀπὸ τῆς πόλεως Τυάνων, παρέδωκε τὸ πν(εῦμ)α.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) μαρτ(ύ)ρ(ων) Ὀνησιφόρου κ(αὶ) Πορφυρίου».

Ἵπποις Ὀνησιφόρε πρὸν Θ(εὸ)ν τρέχων,
ἔχεις συνιππεύοντα (καὶ) τὸν σὸν οἰκέτην.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι, Πορφύριος κ(αὶ) Ὀνησιφόρος, διωγμοῦ καταλαβόντος, διεβλήθησαν ὡς χριστιανοὶ [. . .]
Τελ.: [. . .] τότε χριστιανοί τινες ἐν κρυπτῷ λαβόντες τὰ ἅγια αὐτῶν λείψανα, κατέθεντο [. . .] δοξάζοντες (καὶ) εὐλογοῦντες τὸν Θ(εόν).

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) κ(αὶ) ἀοιδίμου Λαζάρου· (καὶ) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θεοστηρίκτου τοῦ ἐν Συμβόλοις· καὶ τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Νόνου ἐπισκόπ(ου) τοῦ κατηχήσαντος τὴν ἁγί(αν) Πελαγί(αν)· (καὶ) τ(ῶν) ἁγί(ων) ἀποστόλ(ων) ἐκ τ(ῶν) ο′· Ὀλυμπᾶ· Ῥοδίωνος· Σωσιπάτρου· Ἐράστου· καὶ Κουάρτου».
Ἀκολουθεῖ σύντομον συναξάριον τῶν ἀποστόλων.

Ἀρχ.: Οὗτοί εἰσιν ἐκ τῶν ο′· καὶ ὁ μὲν Ὀλυμπᾶς (καὶ) Ῥοδίων ἀκολουθοῦντες τῷ ἁγίῳ ἀποστόλῳ Πέτρῳ [. . .]
(φ. 103α) Τελ.: [. . .] (καὶ) πλείστους τῶν Ἑλλήνων ἐπιστρέψας ἐπὶ τὸν Κ(ύριο)ν, ἐτελειώθη καὶ αὐτὸς ἐν εἰρήνῃ.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μαρτίνου ἐπισκόπου».

Βίου μεταστὰς οὗ ὁ βραχύς τις δρόμος,
τὸν πρὸς πόλον Μαρτῖνος ἔδραμε δρόμον.

ια′ «Μη(νὶ) τῷ αὐτ(ῷ) ια′. Μνήμ(η) τοῦ ἁγίου μ(άρτυ)ρος Μηνᾶ τοῦ ἐν τῷ Κοτυαείῳ».

Αἴγυπτος ὄντως εἰ τέκοι, τίκτει μέγαν·
τμηθεὶς ἀληθὲς τοῦτο Μηνᾶς δεικνύει.
Μηνᾶς ἑνδεκάτ(η) ξίφος ἔτλη γηθόσυνος κῆρ.

Ἀκολουθεῖ (φφ. 103α - 104β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ στρατευόμενος ἐν τοῖς νουμέροις [. . .]
(φ. 104β) [. . .] ὁ μὲν τὸ ἅγιον βάπτισμα· ὁ δὲ συμπάθειαν, ὑπέστρεψ(αν) (καὶ) ἀμφότεροι εἰς τὰ ἴδια χαίροντες.

«Μνήμ(η) τοῦ ἁγίου μάρτυρος Βίκτωρος.

(φ. 105α) Οὐ δειλιῶν ἦν οὐδὲ Βίκτωρ πρὸς ξίφος,
πᾶσαν μακρὰν που καρδίας θεὶς δειλίαν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἠγωνίσατο ἐπὶ Ἀντωνίου βασιλέ(ως) καὶ Σεβαστιανοῦ δουκὸς ἐν Ἰταλίᾳ [. . .]
Τελ.: [. . .] εἶτα τὴν δορὰν ἀφαιρεῖται· (καὶ) τότε τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρατίθησι.

«Μνήμη τοῦ ἁγίου μ(άρτυ)ρος Βικεντίου».

Βληθεὶς ὁ Βικέντιος ἐν φρουρᾷ, φέρει·
λυθεὶς δὲ φρουρᾶς σαρκικῆς, ἄνω τρέχει.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος μάρτυς Βικέντιος, ἐν Αὐγουστοπόλει τῆς Ἱσπανίας ὑπάρχων (καὶ) διδάσκων τὸν λαὸν [. . .]
Τελ.: [. . .] βοηθείας θείας καὶ ἀγγελικῆς ἀξιοῦται· (καὶ) αὐτίκα Θ(ε)ῷ τὸ πν(εῦμ)α παρέθετο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θεοδώρου ἡγουμένου τῶν Στουδίου».

Πολλὰς ἀμοιβὰς Θεόδωρε τρισμάκαρ,
βίου μεταστάς, ὡς βιοὺς εὖ, προσδόκα.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Κοπρωνύμου· γονέων εὐσεβ(ῶν) [. . .]
(φ. 105β) Τελ.: [. . .] ἦν δὲ τὴν ἡλικί(αν) κατάξηρος· ὠχρὸς τὴν ὄψιν· μιξοπόλιος· τὴν τρίχα ἐπιφάλακρος.

ιβ′ «Μη(νὶ) τῷ αὐτ(ῷ) ιβ′. Μνήμ(η) τοῦ ἐν ἁγί(οις) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰω(άννου) ἀρχ(ι)επισκόπου Ἀλεξανδρεί(ας) τοῦ ἐλεήμονος».

Ἰωάννης πένησι δοὺς καὶ σκορπίσας,
ὢ ποῖα Χ(ριστ)ῷ νῦν παρεστὼς λαμβάνει!
Ὤχετο ἀκτεάνων τε δύο (καὶ) δεκάτ(η) ἐλεητής.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος Κύπριος ἦν τὸ γένος· Ἐπιφανίου τοῦ τῆς χώρας ἄρχοντος υἱὸς [. . .]

(φ. 106α) Τελ.: [. . .] (καὶ) τοῖς ἀπίστοις αἰδέσιμος καταστάς, ἡ περὶ αὐτοῦ γὰρ βίβλος τοῦτο δηλοῖ, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Νείλου τοῦ ἀσκητοῦ».

Αἴγυπτον ἄρδει Νεῖλος, ἀλλὰ καὶ κτίσιν
λόγῳ κατάρδει καὶ θανὼν Νεῖλος μέγας.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος πολὺς ἦν ἐν λόγοις· ἐπὶ τῆς βασιλείας Μαυρικίου· ἔπαρχος Κωνσταντινουπόλεως ἐγνωρίζετο [. . .]
Τελ.: [. . .] ἐν τῷ σεβασμίῳ ναῷ τῶν ἁγίων Ἀποστόλ(ων), ἐν τῷ Ὀρφανοτροφείῳ, ὑποκάτω τοῦ θυσιαστηρίου, ὑπὸ Ἰουστίνου τοῦ βασιλέως κατατεθέντες.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου Μαρτίνου τοῦ θαυματουργοῦ».

Οὐκ ἦν ὁ κόσμος ἄξιός σου Μαρτῖνε,
ὃν καὶ λιπὼν ἀνῆλθες εἰς κόσμον μέγ(αν).

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέ(ως) ἐν Ῥώμῃ, κόμης τὴν ἀξίαν· στρατηλάτης δὲ παρὰ τοῦ βασιλέως καταστὰς [. . .]
(φ. 106β) Τελ.: [. . .] (καὶ) ἕτερα πλεῖστα πεποιηκὼς θαύματα, ἐν εἰρήνῃ τὸν βίο(ν) μετήμειψεν.

«Μνήμ(η) τοῦ ἁγίου προφήτ(ου) Ἀχιᾶ».

Ὅτι προφήτης Ἀχιᾶ πρὶν τεθνάναι,
Ἱεροβοὰμ μάρτυς υἱὸς Σαρήρας.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἦν ἀπὸ Σιλὼμ ἐκ πόλεως Ἠλί· ὅπου ἦν ἡ σκηνὴ τὸ παλαιὸν [. . .]
Τελ.: [. . .] ἀπέθανεν ἐν εἰρήνῃ· (καὶ) ἐτάφη ἐγγὺς τῆς δρυὸς Σιλώμ.

«Ὁ ἅγιος μάρτυς Ἀρσάκιος ξίφει τελειοῦται».

Ἔχαιρεν Ἀρσάκιος εἰς ξίφος βλέπων·
σὺν τῷ ξίφει γὰρ ἦν βλέπων καὶ τὸ στέφος.

«Ὁ ἅγιος Φλαβιανός, π(ατ)ριάρχ(ης) Κωνσταντ(ι)ν(ου)πόλ(εως), ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Σκώλοις νοητοῖς οὐχὶ προσκόψας πόδα,
ὁ Φλαβιανὸς μέχρι σοῦ, Θεέ, τρέχει.

«Ὁ ἅγιος Λέ(ων), π(ατ)ριάρχ(ης) Κωνσταντ(ι)ν(ου)πόλ(εως), ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ἐναερίους δαίμονας σοβεῖ Λέων,
βίου μετελθὼν ὡς λέων ἐκ καλάμων.

ιγ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιγ'. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) ἀρχιεπισκόπου Κωνσταντινουπόλε(ως) τοῦ Χρυσοστόμου».

Μύσας ὁ χρυσοῦς Ἰωάννης τὸ στόμα,
ἀφῆκεν ἡμῖν ἄλλο, τὰς βίβλους, στόμα.
Ἀμφὶ τρίτ(ην) δεκάτ(η)ν τε σίγησε χρύσεα χείλη.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος οὖν ὁ μέγας φωστὴρ καὶ διαπρύσιος τῆς οἰκουμένης διδάσκαλος, ἦν ἐκ πόλεως τῆς μεγάλης Ἀντιοχεί(ας) [. . .]
(φ. 107α) Τελ.: [. . .] ἐν δὲ τῷ ἀνακομισθῆν(αι) τὸ τοῦ ἁγίου λείψανον (καὶ) ἀποτεθῆν(αι) ἔνθα νῦν ἐστι, τοῦ κλόνου (καὶ) τ(ῆς) κινήσε(ως) ἔστη.

ιδʹ (φ. 107β) «Μη(νὶ) τῷ αὐτ(ῷ) ιδʹ. Τοῦ ἁγίου ἀποστ(ό)λ(ου) Φιλίππου».

Ἀρθεὶς Φίλιππος ἐκ ποδῶν ἐπὶ ξύλου,
τὰ τῶν ποδῶν σοι νίπτρα σ(ῶτ)ερ ἐκτίνει.
Ἤρθης κάκκεφαλῆς[1] δεκάτη Φίλιππε τετάρτη.

Ἀκολουθεῖ (φφ. 107β - 110β) συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Οὗτος ἦν ἀπὸ Βηθσαϊδᾶ τῆς πόλεως· συμπολίτης Ἀνδρέου (καὶ) Πέτρου [. . .]
(φ. 110β) Τελ.: [. . .] ἅμα Λυκαονίᾳ καὶ τῇ Ἀσίᾳ κηρύττων καὶ εὐαγγελιζόμενος τὸν Χ(ριστό)ν· ᾧ ἡ δόξα [. . .] ἀμήν.

ιεʹ «Μη(νὶ) τῷ αὐτ(ῷ) ιεʹ. Μνήμη τῶν ἁγίων μαρτύρων Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου».

Ξίφος τελειοῖ Σαμωνᾶν καὶ Γουρίαν,
καὶ φλὸξ Ἄβιβον, οἷς χαρὰ πῦρ κ(αὶ) ξίφος.
Πῦρ πέμπτῃ δεκάτῃ Ἄβιβον πέφνε, χαλκὸς ἑτάρους.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τούτων ὁ μὲν Σαμωνᾶς καὶ Γουρίας ἤθλησαν ἐπὶ Διοκλητιανοῦ βασιλέ(ως) [. . .] διεβλήθησαν δὲ ὡς ἀναπείθοντες τοὺς ἀν(θρώπ)ους μὴ θύειν εἰδώλοις [. . .]
(φ. 111α) Τελ.: [. . .] ἱμάντα ἔχ(ων) ἐπὶ τοῦ στόματος δίκην φονέως· (καὶ) οὕτως ἐτέλεσεν αὐτοῦ τὴν μαρτυρί(αν).

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Κυντιανοῦ ἐπισκόπ(ου) Σελευκεί(ας)· καὶ μνήμ(η) τ(ῶν) εὐσεβ(ῶν) βασιλέ(ων) [sic] Ἰουστίνης κ(αὶ) Θεοδώρ(ας)· καὶ τοῦ ἁγίου Θωμᾶ π(ατ)ριάρχ(ου) Κωνσταντ(ι)ν(ου)πόλε(ως) τοῦ νέου».

Ζωὴν ὁ Θωμᾶς ἐκλιπὼν μετρουμένην,
ζωὴν πρεπόντως εὗρεν οὐ μετρουμένη(ν).

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων)· Ἐλπιδίου· Μαρκέλλου· Εὐστοχίου· (καὶ) τῶν σὺν αὐτ(οῖς) μαρτ(ύ)ρ(ων)».

Πῦρ Ἐλπίδιε σὺν δυσὶ στέγειν φίλοις
ἡ τῶν ἐπάθλων ἐλπὶς ἠρέθιζέ σε.

1. κακεφαλῆς cod.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ μακάριος Ἐλπίδιος εἷς τῆς συγκλήτου βουλῆς ὑπάρχων (καὶ) τὰ μυστικὰ πιστευόμενος πράγματα [. . .]

(φ. 111β) Τελ.: [. . .] καὶ εἰς κάμινον πυρὸς βληθῆναι τὸ τελευταῖον· καὶ ἀφῆναι τῷ Κ(υ-ρί)ῳ τὸ πν(εῦμ)α.

ις' «Μη(νὶ) τῷ αὐτ(ῷ) ις'. Μνήμ(η) τοῦ ἁγίου ἀποστ(ό)λ(ου) καὶ εὐαγγελιστοῦ Ματθαίου».

Σώζεις Ἰ(ησο)ῦ καὶ τελώνας, σοὶ χάρις·
οὕτω βοᾷ Ματθαῖος ἐκ πυρὸς μέσον.
Ἀκάματον Ματθαῖον πῦρ δεκάτ(η) κτάν(εν) ἕκτη.

Ἀκολουθεῖ (φφ. 111β - 113β) συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Ὃς ἐπὶ τελώνιον καθήμενος, τοῦ Κ(υρίο)υ, ἀκούσας εἰπόντος πρὸς αὐτὸν ἀκολούθει μοι [. . .]

(φ. 113β) Τελ.: [. . .] καὶ τῷ βασιλεῖ τὸν θρόνον ὡς ἱερεῖ καταλέλοιπε· (καὶ) πάλιν αὐτὸς τῷ υἱῷ κατὰ τὴν τοῦ ἀποστόλου διάταξιν.

ιζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιζ'. Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Γρηγ(ο)ρ(ίου) τοῦ θαυματουργοῦ».

Ὁ Γρηγόριος θαυματουργῶν καὶ πάλαι,
Θ(ε)ῷ παραστάς, θαυματουργεῖ νῦν πλέον.
Ἑβδομάτ(η) δεκάτ(η) μέγας θάνε θαυματουργός.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Αὐρηλιανοῦ βασιλέως· Ἑλλήνων ὑπάρχων γονέων υἱὸς [. . .]
Τελ.: [. . .] τοσούτους ἀπίστους κατέλιπ(εν), ὅσους εὗρε χριστιανούς· (καὶ) οὕτ(ως) ἐτελειώθ(η).

«Μνήμ(η) τοῦ ὁσ(ί)ου (καὶ) ὁμολογ(η)τ(οῦ) Λαζάρου τοῦ ζωγράφου».

Οὐ ζωγραφεῖ σε Λάζαρος καὶ νῦν λόγε,
ἀλλὰ βλέπει σε ζῶντα, μὴ ληπτ(ὸν) χρόαις.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

(φ. 114α) Ἀρχ.: Οὗτος νηπιόθεν τὸν μονήρη βίον ὑπέρχετ(αι) καὶ τὴν ζωγραφικὴν ἐπιστήμην ἐκπαιδεύεται [. . .]

Τελ.: [. . .] (καὶ) τὸ τίμιον αὐτοῦ σῶμα ἀνακομισθέν, ἐν τῇ μονῇ τοῦ Εὐάνδρου κατετέθη.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου Ζαχαρίου τοῦ σκυτοτόμου· (καὶ) Ἰω(άννου) διήγησ(ις) ὠφέλιμος».

Ἀρχ.: Ἀνήρ τις τῶν κατὰ κόσμον περιφαν(ῶν), ὄνομα αὐτῷ Ἰωάννης· πάντων καταφρονήσας καὶ τὸν λιτὸν μετερχόμενος βίον [. . .]
(φ. 115α) Τελ.: [. . .] μετανάστης τῆς κέλλης ἐγένετο· ἄγνωστος πᾶσι τὸ παράπαν γενόμενος.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ὅσιος Λογγῖνος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ἔχεις ἀθλητὴν Χ(ριστ)ὲ Λογγῖνον μέγαν,
ἔχεις δὲ καὶ Λογγῖνον ἀσκητὴν μέγαν.

«Ὁ ἅγιος Γεννάδιος, π(ατ)ριάρχ(ης) Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται».

Ὁ Γεννάδιος εὗρε τὴν Ἐδὲμ στέφος,
φανεὶς νοητὴν πρὸς παλαίστρ(αν) γεννάδ(ας).

«Ὁ ἅγιος Μάξιμος, π(ατ)ριάρχ(ης) Κωνσταντινουπόλε(ως), ἐν εἰρήνῃ τελειοῦται».

Μάξιμος ὠδίνησε· καὶ τεκὼν τέκνα,
(φ. 115β) πράξεις ἁγνάς, ἄπεισιν ἁγνὸς ἐκ βίου.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ὅσιος Ἰουστῖνος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ἀσκητικὸς ἄγρυπνος ὀφθαλμὸς μύει,
Ἰουστῖνος τὸ θαῦμα τῶν ἠσκηκότων.

ιη' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιη'. Μνήμ(η) τοῦ ἁγ(ίου) μεγαλομ(άρτυ)ρος Πλάτωνος».

Μικροῦ λαθὼν παρῆλθεν ἡμᾶς ὁ Πλάτ(ων),
Πλάτων ἐκεῖνος ὃν πλατὺ κτείνει ξίφος.
Ὀγδοάτ(ῃ) δεκάτ(ῃ) τε Πλάτωνα ἄορ κατέπεφνε.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν χώρας τῶν Γαλατῶν, Ἀγκύρας τῆς πόλεως· ἀδελφὸς τοῦ ἁγίου μάρτυρος Ἀντιόχου [. . .]
Τελ.: [. . .] ὡς ἀλλοιωθῆναι τὴν ὄψιν· καὶ τότε τὴν διὰ ξίφους δέχεται τελευτήν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μάρτ(υ)ρ(ος) Ῥωμανοῦ».

Τὸ καρτερόφρον Ῥωμανοῦ π(ῶς) θαυμάσει,
σὺν χαρμονῇ γὰρ πνιγμον(ὴν) ἐκαρτέρει.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ βασιλέως· (καὶ) διὰ τὴν ὑπὲρ Χ(ριστο)ῦ ἀγάπην εἰσελθεῖν βουλόμενον [. . .]
Τελ.: [. . .] διὰ πνιγμονῆς ἐν εἱρκτῇ τῆς προσκαίρου ζωῆς ἀπολύετ(αι)· καὶ τὸν στέφανον τοῦ μαρτυρίου κομίζεται.

«Τὸ ἅγιον νήπιον ἐρωτηθὲν παρὰ τοῦ ἐπάρχου ποῖον δεῖ σέβ(ειν) Θ(εόν), κ(αὶ) εἰπ(ὸν) τὸν Χ(ριστό)ν, ξίφει τελειοῦται».

Κόλπους Ἀβραὰμ νήπιον λαχ(ὸν) ξίφει,
τοῖς Βηθλεὲμ σύνεδρον ὤφθη νηπίοις.

«Τοῦ ἁγίου μ(άρτυ)ρος Ῥωμανοῦ, διακόνου τῆς Παλαιστ(ί)ν(ης)».
Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος τῆς Παλαιστίνης ἕλκων τὸ γένος καὶ τῆς ἐν Καισαρείᾳ παροικίας ὢν διάκονος [. . .]
(φ. 116α) Τελ.: [. . .] (καὶ) βρόχῳ περιβληθείς, ἀναιρεῖται ἀποπνιγείς.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Ζακχαίου, διακόνου τῆς ἐν Γαδείροις ἐκκλη(σίας)· κ(αὶ) Ἀλφαίου».

Ζακχαῖος ἐκχεῖ πλοῦτον ὁ πρ(ὶν) ἡμίσυ,
ὁ νῦν δέ, σ(ωτ)ήρ, αἷμα χεῖ πᾶν ἐκ ξίφους.

Ἀλφαῖε καρτέρησον, εἰ τέμνῃ κάραν,
καὶ κλῆρον ἕξεις τ(ὴν) ἄτμητον οὐσίαν.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ἄγεται Ζακχαῖος οὗτος ἐπὶ τοῦ βήματος, σιδηροῦν καὶ βαρὺν κλοιὸν φέρων ἐπὶ τοῦ τραχήλου [. . .]
Τελ.: [. . .] τὴν διὰ ξίφους δέχεται τελευτ(ήν)· ὁμοίως καὶ ὁ Ζακχαῖος.

ιθ′ «Μη(νὶ) τῷ αὐτ(ῷ) ιθ′. Μνήμ(η) τοῦ ἁγίου προφήτ(ου) Ἀβδιοῦ».

Ἔφησεν ἄν τι μέλλον Ἀβδιοὺ πάλιν,
εἰ μὴ τελευτὴν εἶχεν αἰδεῖσθαι τάχα.
Ἐννέα καὶ δεκάτ(ῃ) βίον Ἀβδιοὺ ἐξεπέρησ(εν).

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος δοῦλος Κ(υρίο)υ ἑρμηνεύεται ἢ ἐξομολογούμενος [. . .]
Τελ.: [. . .] καὶ ἀποθανὼν ἐτάφη μετὰ τῶν π(ατέ)ρων αὐτοῦ.

(φ. 116β) «Μνήμ(η) τοῦ ἁγίου Βαρλαάμ».

Σὺν λιβανωτῷ Βαρλαὰμ τὸ πῦρ φέρ(ων),
εὔοσμος ὤφθη λιβανωτὸς Κ(υρί)ῳ.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Βαρλαὰμ ὁ μάρτυς ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς Συρίας· γέρων δὲ ὢν τὴν ἡλικίαν [. . .]
Τελ.: [. . .] ἡ αὐτοῦ ψυχὴ ἐν χερσὶ Θ(εο)ῦ παρατίθετ(αι).

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Ἄζη τοῦ θαυματουργοῦ».

Διψητικὴ τις ὡς ἔλαφος εἰς ὕδωρ,
Ἄζης ὁ μάρτυς ἔτρεχε πρὸς τὸ ξίφος.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· ἐκ τῆς τῶν Ἰσαύρων χώρας ὁρμώμενος [. . .]
(φ. 117α) Τελ.: [. . .] τὸν ἅγιον τύψας σφοδρῶς, καὶ αὐτ(ὸν) διὰ ξίφους τελειωθῆναι προσέταξεν.

«Οἱ ἅγιοι ἑκατὸν πεντήκοντ(α) στρατιῶτ(αι) ξί(φει) τε(λειοῦνται).

Τετμημένας τρεῖς Χ(ριστ)ὲ πεντηκοντάδας,
τριττῇ στεφῶν γέραιρε πεντηκοντάδι.

Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) οἱ ἅγιοι δώδεκα στρατιῶτ(αι) ξί(φει) τε(λειοῦνται)».

Στρατεύομαί σοι σήμερον διὰ ξίφους,
τῷ παμβασιλεῖ δωδεκὰς στρατοῦ λέγει.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Ἀγαπίου».

Κἂν ἐσπαράχθην Ἀγάπιος θηρίοις,
τὴν πίστιν ἀσάλευτός εἰμί σοι λόγε.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Ἡλιοδώρου τοῦ ἐν Μαγιδῷ τῆς Παμφυλίας».

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Ἐπὶ τῆς βασιλείας Αὐρηλιανοῦ, ἐν Ῥώμῃ ἡγεμονεύοντος Ἀετίου· ἐν Μαγιδῷ τῇ πόλει ὁ μακάριος οὗτος [. . .]
(φ. 117β) Τελ.: [. . .] καὶ πληρώσας τὴν εὐχήν, ἀπετμήθη τὴν κεφαλήν.

κ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κ'. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Γρηγορίου τοῦ Δεκαπολίτου».

Χάραξ κύκλῳ σου καὶ μετὰ ζωῆς τέλος,
ἡ ζῶσα Γρηγόριε τοῦ Θ(εο)ῦ χάρις.
Εἰκάδι Γρηγόριος κικλήσκετο εἰς πόλον εὐρύν.

Ἀκολουθεῖ (φφ. 117β - 118α) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἔφυ γεννητόρων Σεργίου καὶ Μαρί(ας)· ὀκταέτης δὲ γενόμενος, εἰς ἐκπαίδευσιν τῶν ἱερῶν γραμμάτων δίδοται [. . .]
(φ. 118α) Τελ.: [. . .] πολλὰ καθικετεύσ(ας) (καὶ) προσκυνήσας, ἐν εἰρήνῃ ἐκοιμήθη.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τῶν ἁγίων μαρτύρων· Εὐσταθίου· Θεσπεσίου· (καὶ) Ἀνατολίου».

Κάρας τριῶν τέμνουσι νεκρῶν οἱ πλάνοι,
οὐδ' εἰς νεκροὺς δεικνύντες οἶκτον, ὢ πλάν(ης)!

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ· π(ατ)ρίδα μὲν ἔχοντες τὴν τῶν Γαλατῶν [. . .]
(φ. 118β) Τελ.: [. . .] νεκρῶν ὄντων τῶν σωμάτων τὰς κεφαλὰς ἀπέτεμον.

«Μνήμ(η) τοῦ ἁγ(ίου) Θεοκτίστου π(ατ)ρικίου· τῇ θέσει εὐνούχου· ὃς ἦν ἐπὶ Θεοδώρας αὐγούστης· καὶ τοῦ ὁσίου Πρόκλου».

κα' «Μη(νὶ) τῷ αὐτ(ῷ) κα'. Ἡ ἐν τῷ ναῷ εἰσέλευσις τῆς [. . .] Θ(εοτό)κου καὶ ἀειπαρθένου Μαρίας».

Ἔνδον τρέφει σε Γαβριὴλ ναοῦ κόρη,
ἥξει δὲ μικρὸν καὶ τὸ χαῖρέ σοι λέγων.
Βῆ ἱερ(ὸν) Μαρίη τέμ(εν)ος παρὰ εἰκάδι πρώτῃ.

Ἀκολουθεῖ συναξάριον.

Ἀρχ.: Ἡ ἐν τῷ ναῷ τῆς Θεομήτορος εἴσοδος ἑορτὴν εὐσεβέσιν εἰργάσατο θαυμαστὴν [. . .] (φ. 119α) Τελ.: [. . .] ἀγγέλου τῇ ταύτης ὡς ἔφην ἀποστολῆς καθυπηρετοῦντος, εἰς δόξαν Θ(εο)ῦ.

κβ΄ «Μη(νὶ) τῷ αὐτ(ῷ) κβ΄. Μνήμ(η) τῆς ἁγίας μ(άρτυ)ρος Κικιλίας· Βαλλεριανοῦ (καὶ) Τιβερίου».

Λουτροῦ φέρεις ἔκκαυσιν ἡ Κικιλία,
λούῃ δὲ λουτρὸν αἵματος διὰ ξίφους.
Δευτερίῃ εἰκάδι Κικιλίαν τάμον ἀμφὶ λοετρ(όν).

Βαλλεριανὸν καὶ συναθλητὴν ἅμα
κτείνει ξίφος, βάλλοντας ὕβρεσι πλάν(ην).

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ἤθλησαν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· καὶ ἡ μὲν Κικιλία ὑπῆρχεν ἐκ τῆς Ῥώμης [. . .]
Τελ.: [. . .] τὴν διὰ ξίφους δέχεται τελευτὴν ἐν αὐτῷ τῷ βαλανείῳ· τοῦτο τοῦ ἐπάρχου ἀποφηναμένου.

«Ὁ ἅγιος Μάξιμος ὁ καπικλάριος ξί(φει) τε(λειοῦται)».

Αἰκίζεται Μάξιμος ὁ φρουρᾶς φύλαξ,
εὐθὺς ὑπάρξας ἐντολῶν Θ(εο)ῦ φύλαξ.

«Ὁ ἅγιος Μᾶρκος· Στέφανος· κ(αὶ) Μᾶρκος ξί(φει) τε(λειοῦνται)».

Τμηθεὶς ξίφει Στέφανος σὺν Μάρκοις δύο,
πολλοὺς σὺν αὐτοῖς τοὺς στεφάνους λαμβάνει.

«Μνήμ(η) τοῦ ἁγ(ίου) Προκοπίου τοῦ Παλαιστίνου» [sic].

Πρὸς τὴν τομ(ὴν) ὥρμησ(εν) οἷα πρὸς πόλον,
καὶ Προκόπιος θρέμμα τῆς Παλαιστίν(ης).

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος συντόνῳ φιλοσοφίᾳ τὴν ἑαυτοῦ ζωὴν ἀναθείς, πᾶν εἶδος ἀρετῆς τῷ ἐπιπόνῳ τοῦ βίου ἐκτήσατο [. . .]
(φ. 119β) Τελ.: [. . .] καὶ οὕτως εὕρατο σύντομον τὴν εἰς οὐ(ρα)νοὺς ὁδόν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Μενίγνου τοῦ Κναφέως».

Κάραν Κναφεῦ Μένιγνε τμηθεὶς ἐκ ξίφους,
γνάπτεις σεαυτόν, κἂν ῥύπους εἶχες πλύνει.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὥρμητο ἀπὸ Κολωνίας τῆς Ἑλλησπόντου [. . .]
Τελ.: [. . .] (καὶ) τῷ ξίφει παρὰ τοῦ δημίου κρουσθείς, τὸ πν(εῦμ)α τῷ Κ(υρί)ῳ παρέθετο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου Ἀββᾶ».

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐκ γένους τῶν Ἰσμαηλιτῶν· καταλιπὼν δὲ γονεῖς καὶ π(ατ)ρίδα καὶ πλοῦτον [. . .]
(φ. 120α) Τελ.: [. . .] οὕτω βιοὺς καὶ πλήρης ἡμερῶν γενόμενος, ἀνεπαύσατο ἐν Κ(υρί)ῳ·

«Οἱ ἅγιοι Χριστοφόρος (καὶ) Εὐφημία μαχαίρᾳ τελειοῦ⟨ν⟩ται».

Τὴν Εὐφημίαν σοι συνευφημεῖν ἔγνων,
σοὶ συσφαγεῖσαν χριστοφόρον Χριστοφόρε.

«Ὁ ἅγ(ιος) Θαλέλαιος κ(αὶ) Ἄνθιμος ξίφει τελειοῦνται».

Θαλέλαιος, Ἄνθιμος ἐκτετμημένοι,
ἀειθαλῶς ἀνθοῦσιν ὡς θεῖα ξύλα.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ὅσιος Κάλλιστος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Κάλλιστος ἐχθρὸν τὸν κάκιστον πτερνίσας,
φίλος Θ(ε)ῷ πρόσεισιν ἐκλελεγμένος.

«Ὁ ἅγ(ιος) Θαδδαῖος, ἐν τροχῷ δεθεὶς κ(αὶ) κατὰ πρανοῦς ἀφεθείς, τελειοῦται».

Κατὰ πρανοῦς Θαδδαῖον ὁ τροχὸς στρέφει,
φωνὴ δὲ βροντῆς ἐκ τροχῶν ψαλμὸς λέγει.

κγ´ «Μη(νὶ) τῷ αὐτ(ῷ) κγ´. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀμφιλοχίου ἐπισκόπ(ου) Ἰκονίου».

Σταλεὶς Ἀμφιλόχιε νεκρῶν ἀμφίοις,
λόχους σκεδάζεις καὶ νεκροὺς νοουμ(έν)ους.
Εἰκάδι τριτάτ(η) θάνατος λάβεν Ἀμφιλόχιον.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἐκ νεαρᾶς ἡλικίας πάντα βαθμὸν ἐκκλησιαστικὸν παραλλάξας [. . .]
(φ. 120β) Τελ.: [. . .] (καὶ) νόμους ὀρθοδόξους συντάξας (καὶ) εἰς βαθὺ γῆρας ἐλάσας, ἀνεπαύσατο ἐν εἰρήνῃ.

«Ὁ ἅγ(ιος) Ἰσχυρί(ων) ἐπίσκοπος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ζῶν Ἰσχυρίων, ἰσχὺς ἦν ἐκκλησίας,
ἥνπερ νοητῶς καὶ θανὼν ἐνισχύει.

«Ὁ ἅγ(ιος) Ἕλενος, ἐπίσκοπος Ταρσοῦ, ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ταρσοῦ πρόεδρος Ἕλενος θυηπόλος,
ταρσοῖς[1] ἄνεισι ψυχικοῖς ἕως πόλου.

1. ταρσεῖς cod.

«Διήγησις ὀπτασί(ας) τινὸς Ἰω(άννου) πάνυ ὠφέλιμος».

Ἀρχ.: Ἐγένετό τις ἀνὴρ ἐν ταῖς ἡμέραις βασιλέως τοῦ Κωνσταντίνου· ὃς καὶ ἦν γνωστὸς αὐτῷ τῷ βασιλεῖ [. . .]
(φ. 121β) Τελ.: [. . .] διήρκεσεν ἐπὶ πολὺ θεαρέστως βιώσας· (καὶ) μεταστὰς ἀπῆλθε πρὸς τὰς αἰωνίους μονάς.

κδ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κδ'. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Γρηγορίου ἐπισκόπου Ἀκραγαντίνων».

Ἐξ Ἀκραγάντ(ων) πρὸς Θ(εὸ)ν χωρεῖς λόγον,
τὸν ἄκρα γῆς κρίνοντα, παμμάκαρ π(άτ)ερ.
Εἰκάδι Γρηγόριον θανάτου νέφος εἷλε τετάρτ(ῃ).

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουστίνου, τοῦ καὶ Ῥινοτμήτου· ὁρμώμ(εν)ος ἐκ πόλεως Ἀκραγάντων [. . .]
(φ. 122α) Τελ.: [. . .] καὶ μυρία ἐργασάμενος θαύματα, ἐν βαθυτάτῳ γήρᾳ τὸν βίον ἀπέλιπε.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος Μάλχος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Οἱ ψυχοπομποὶ συγκατέπτησαν νόες,
ψυχὴν ἀπάξαι Μάλχε τὴν σὴν Κ(υρί)ῳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ὅσιος Καρίων ἐν εἰρήνῃ τε(λειοῦται)».

Θεὶς πάντα πόρρω Καρίων, ψυχῆς κάρον
ἤσκησε νῷ νήφοντι μέχρι καὶ τέλους.

«Ὁ ἅγ(ιος) Ἑρμογέν(ης), ἐπίσκοπ(ος) Ἀκραγαντ(ί)ν(ων), ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ἀπῆρας Ἑρμόγενες ἀν(θρώπ)ων γένους,
καταισχύνας φρύαγμα δαιμόνων γένους.

«Οἱ ἅγιοι Φιλούμ(εν)ος (καὶ) Χριστοφόρος ξί(φει) τε(λειοῦνται)».

Φιλούμενον τέμνουσι κ(αὶ) Χριστοφόρον,
αὐτῷ φανέντας πράγματι Χ(ριστ)ῷ[1] φίλους.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος Εὐγένιος, ἐν ὀπῇ τοίχου βληθείς, τῆς εἰσόδου πηλῷ ἀναφραγείσης, τελειοῦται».

Μάτην ὀπὴ τὰ κλεῖθρα τ(ὸν) πηλὸν φέρεις,
Εὐγενίῳ γὰρ πρὸς Θ(εὸν) τρίβος γίνῃ.

«Οἱ ἅγιοι Προκόπιος κ(αὶ) Χριστοφόρος ξί(φει) τε(λειοῦνται)».

Ὁ Προκόπιος, ὡς ἐγὼ Χριστοφόρε,
θοῦ καὶ σύ, φησίν, εἰς τομ(ὴν) τὸν αὐχένα.

1. Χ(ριστο)ῦ cod.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Ἀλεξάνδρου τοῦ ἐν Κορίνθῳ· (καὶ) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Γρηγορίου τοῦ ἐν τῇ Χρυσῇ Πέτρᾳ· ὃς ὥρμητο ἐκ τ(ῶν) τῆς Ἀνατολῆς μερῶν, (καὶ) ἐλθ(ὼν) κατῴκησ(εν) ἐν τῇ ῥηθείσ(ῃ) Πέτρ(ᾳ)· (καὶ) τοῦ ἁγίου μ(άρτυ)ρος Χρυσογόνου· (καὶ) τοῦ ὁσίου Μάρκου τοῦ Τριγληνοῦ· (καὶ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Θεοδώρου τοῦ ἐν Ἀντιοχείᾳ».

Ἀκολουθεῖ συναξάριον τοῦ τελευταίου μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος κρατηθεὶς ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ ἀποστάτου παρὰ Σαλουστίου τοῦ ἐπάρχου [. . .]
(φ. 122β) Τελ.: [. . .] ὁ δὲ ἅγιος Θεόδωρος εἰς αἰῶνας ἐν Κ(υρί)ῳ ἀγάλλεται.

κε′ «Μη(νὶ) τῷ αὐτ(ῷ) κε′. Μνήμ(η) τ(ῆς) ἁγί(ας) (καὶ) ἐνδό(ξ)ου μ(ε)γ(ά)λ(ο)μ(άρτυ)ρος Αἰκατερίνης».

Αἰκατερῖνα καὶ σοφὴ καὶ παρθένος,
ἐκ δὲ ξίφους καὶ μάρτυς, ὢ καλὰ τρία!
Πέμπτῃ ἄορ κατέπεφνεν εἰκάδι ῥήτορα κούρ(ην).

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐκ πόλεως Ἀλεξανδρείας· θυγάτηρ βασιλίσκου τινός, τοὔνομα Κώστου [. . .]
Τελ.: [. . .] τὴν κεφαλὴν ἀποτέμνεται· (καὶ) τ(ὸ)ν τοῦ μαρτυρίου δέχεται στέφανον.

«Οἱ ἅγιοι ρν′ ῥήτορες πυρὶ τελειοῦντ(αι)».

Αἱ πρὸς πλάνην ῥήτορσιν ἀνδράσι στάσ(εις),
εἰς πῦρ θανοῦσι, τ(ῶν) στεφάνων εὑρέσεις.

«Ἡ ἁγία βασίλισσα, ἡ γαμετὴ Μαξεντίου, ξί(φει) τε(λειοῦται)».

Τμηθεῖσα θνητοῦ σύζυγος βασιλέως,
ἄφθαρτον εὗρε νυμφῶνα βασιλέως.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Πορφύριος ὁ στρατηλάτης σὺν τοῖς διακοσίοις στρατιώταις ξί(φει) τε(λειοῦται)».

Σὺν τῷ στρατῷ σου Πορφύριε πρὸς ξίφος
πρόθυμος ἥκεις, οἷάπερ στρατηλάτης.

«Τοῦ ἁγ(ίου) ἱερομ(άρτυ)ρος Κλήμεντος ἐπισκόπ(ου) Ῥώμ(ης)».
Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Κλήμης ὁ σοφώτατος, Ῥωμαῖος ἦν τὸ γένος· ἐκ βασιλικοῦ καταγόμ(εν)ος γένους [. . .]
(φ. 123α) Τελ.: [. . .] (καὶ) τῷ ἁγίῳ τὰ εἰκότα εὐχαριστήσαντες, οἴκαδε ἀνεχώρησαν δοξάζοντες τὸν Θ(εὸ)ν.

«Μνήμ(η) τοῦ ἁγ(ίου) ἱερομ(άρτυ)ρος Πέτρου, ἐπισκόπ(ου) Ἀλεξανδρείας».

Ἄρρηκτος ἦν τὴν πίστιν ὁ τμηθεὶς Πέτρος,
ὃς εἶδε Χ(ριστο)ῦ τὴν στολὴν ἐρρηγμένην.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλ(έως)· διδάσκαλος εὐσεβείας (καὶ) τῶν ὀρθῶν δογμάτων ὑφηγητὴς [. . .]
(φ. 123β) Τελ.: [. . .] ἐτελειώθη κατὰ τὴν τοῦ βασιλέως πρόσταξιν, τὴν κάραν ἀποτμηθείς.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Πέτρου τοῦ ἡσυχαστοῦ».
Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Πέτρος ἐν τῷ Πόντῳ γεννηθεὶς παρ' εὐσεβῶν γονέων [. . .]

Τελ.: [. . .] (καὶ) ἐνενήκοντα ἐννέα χρόνους διαρκέσας ἐν τῷ θνητῷ σαρκίῳ τούτῳ, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Οἱ ἅγιοι ἑξακόσιοι ο' μ(άρτυ)ρ(ες) ξίφει τε(λειοῦνται)».

Τέμνουσιν ἀνδρῶν εἰκάδας τριπλ(ᾶς) δέκα,
μεθ' ὧνπερ ἄλλους ἄνδρας ἑπτάκις δέκα.

κς' «Μη(νὶ) τῷ αὐτ(ῷ) κς'. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀλυπίου τοῦ στυλίτου».

Ἀνεῖχεν Ἀλύπιον ὄρθιος κίων[1],
πρὸς οὐ(ρα)νοὺς ζητοῦντα βαίνειν οὐ μένει.
Εἰκάδι ἕκτη ἄλυπον Ἀλύπιε βήσω ἐς οἶκον.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Ἡρακλείου τοῦ βασιλέ(ως)· ἐξ Ἀνδριανοῦ πόλεως τῆς Παμφλαγόνων [sic] χώρας [. . .]
(φ. 124α) Τελ.: [. . .] ὁ δὲ πᾶς τῆς ζωῆς αὐτοῦ χρόνος γέγονεν ἔτη ἑκατόν.

«Μνήμ(η) τοῦ ἁγίου μ(άρτυ)ρος Μερκουρίου».

Εἰ[2] καὶ πατάσσῃ Μερκούριε τῷ ξίφει,
καὶ νεκρὸς ἐχθρὸν σύ[3] πατάσσεις Κ(υρίο)υ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ Δεκίου καὶ Οὐαλλεριανοῦ τῶν βασιλέων· ἐκ τῆς Ἀνατολῶν [. . .]
Τελ.: [. . .] καὶ ἐν Καισαρείᾳ τῆς Καππαδοκίας ἀχθείς, τὴν κεφαλὴν ἀποτέμνεται.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Στυλιανοῦ τοῦ Παφλαγόνος».

Ἀσκήσεως πέπτωκεν ὁ στερρὸς στῦλος·
Στυλιανὸς γὰρ τὸν βίον καταστρέφει.

---

1. κύων cod.
2. Εἰ: Σὺ cod.
3. ἐχθρὸν σύ: ἐχθρὸς σοῦ cod.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀκακίου τοῦ ἐν τῇ κλίμ(α)κ(ι)».

Κακὸν φυγὼν πᾶν Ἀκάκιος ἐν βίῳ,
καλοῖς ἀπείροις ἐντρυφᾷ λιπ(ὼν) βίον.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἔν τινι τῆς Ἀσίας μονῇ· καὶ νέαν ἔτι τὴν ἡλικίαν ἄγων, τὸν ἀσκητικὸν βίον μετήρχετο [. . .]
(φ. 124β) Τελ.: [. . .] κελλίον ποιήσας ἐκεῖσε, σωφρόνως τὸ λοιπ(ὸν) τοῦ βίου διήνυσεν.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰακώβου τοῦ ἀναχωρητοῦ».
Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος καταλαβὼν τὸ ὄρος τὸ ὂν ἀπὸ λ' σταδίων τοῦ ἄστεως ἐνεκαρτέρει [. . .]
(φ. 125α) Τελ.: [. . .] καὶ μέγας θαυματουργὸς γενόμενος, ἀπῆλθε πρὸς Κ(ύρι)ον εὐφραινόμενος.

κζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κζ'. Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Ἰακώβου τοῦ Πέρσου».

Τμηθεὶς μεληδὸν κ(αὶ) σφαγὴν Πέρσης φέρων,
ψυχὴ σεσώσθω, φροῦδά μοι μέλη, λέγει.
Εἰκάδι Πέρσης ἑβδομάτ(ῃ) σφάγη ἐκμελισθ(είς).

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Ὀνωρίου καὶ Ἀρκαδίου τ(ῶν) βασιλέων· χριστιανὸς ὢν ἐκ προγόνων [. . .]
Τελ.: [. . .] μετὰ τῆς κοιλίας τὴν κεφαλήν, καὶ ταύτην μαχαίρᾳ ἀπετμήθη.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ῥωμανοῦ τοῦ θαυματουργοῦ».
Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος Ῥωμανὸς ἐν τῇ Ῥωσ(ῶν) τεχθεὶς (καὶ) τὴν πρώτην ἡλικίαν διαβ(άς), ἔρχεται εἰς Ἀντιόχειαν [. . .]
(φ. 125β) Τελ.: [. . .] (καὶ) οὕτω βιώσ(ας) καὶ τελειωθείς, ἀπῆλθε πρὸς τὰς οὐ(ρα)νίους σκηνάς.

«Ὁ ὅσιος Πινούφιος ἐν εἰρήνῃ τελειοῦται».

Ὁ Πινούφιος ἀρετῶν πολλαῖς χρόαις,
ἐν οὐ(ρα)νοῖς ἔλαμψε<ν> ὡς ἶρις νέα.

«Ὁ ἅγιος Ναθαναὴλ ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ἀφεῖσα κόσμον, πρὸς Θ(εὸ)ν ψυχὴ τρέχε,
Ναθαναὴλ ἔκραξε μέλλων ἐκπνέειν.

κη' «Μη(νὶ) τῷ αὐτ(ῷ) κη'. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) κ(αὶ) ὁμολογητοῦ Στεφάνου τοῦ νέου».

Πληγεὶς νέε Στέφανε τὴν κάραν ξύλῳ,
εὗρες πρεπόντως οὐχὶ γηράσκον στέφος.
Εἰκάδι ὀγδοάτ(ῃ) κράτα Στεφάνου νέου καταθραῦσ(αν).

'Ακολουθεῖ συναξάριον τοῦ ὁσίου.

"Αρχ.: Οὗτος ὁ πολύαθλος καὶ ὁμολογητὴς Στέφανος ἦν ἐκ ταύτης τῆς βασιλίδος τῶν πόλεων [. . .]
Τελ.: [. . .] (καὶ) παρέδωκε τὸ πν(εῦμ)α Κ(υρί)ῳ· (καὶ) ἐτάφη ἐν ᾧ νῦν κατάκειται τόπῳ.

«'Ο ὅσιος 'Ανδρέας, συρόμενος κατὰ γῆς διὰ τὰς ἁγί(ας) εἰκόνας, τελειοῦ-τ(αι)».

(φ. 126α) 'Εκ γῆς ἐπλάσθην· γῆ με δὴ κ(αὶ) κτεινάτω,
πλάστου γὰρ αὐτῆς 'Ανδρέας τιμῶ τύπους.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος Πέτρος, τυπτόμ(εν)ος διὰ τὰς ἁγίας εἰκόνας, τελειοῦται».

"Αν εἰκόνων τύπτωσι τὸν Πέτρον χάριν,
εὕρωσιν αὐτὸν πέτρινον τῷ σαρκίῳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ἡ ἁγία "Αννα τυπτομένη, πρὸς τὸ κατειπεῖν τοῦ ἁγ(ίου) Στεφάνου, τε(λειοῦται)».

Μάστιξιν "Ανναν εὐτόνως τετυμμένην,
ἔδειξε Χ(ριστὸ)ς εὐπρεπῶς ἐστεμμένην.

«Μνήμ(η) τῶν συμμαρτυρησάντ(ων) ἁγίων τῷ ἁγίῳ Στεφάνῳ διὰ τῶν ἁγίων εἰκόνων» [γρ. τὰς ἁγίας εἰκόνας].

'Ακολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

"Αρχ.: Πολλοὶ τῶν στρατιωτῶν ὀρθόδοξοι ὄντες, ἀποταξάμενοι τῷ βίῳ, γεγόνασι μοναχοὶ [. . .]
Τελ.: [. . .] ἐξορισθεὶς καὶ τυπτόμενος συχνῶς, τὸν βίον ἀπέλιπεν.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Εἰρηνάρχου (καὶ) τῶν σὺν αὐτῷ ἑπτὰ ἁγίων γυναικῶν».

Τὸν Εἰρήναρχον ἡ φονεύτρια σπάθη
σῷ, σ(ῶτ)ερ εἰρήναρχε, συντάττει μέρει.

"Εδειξε νεκρὰς ἐν Σεβαστείᾳ πόλει
γυναῖκας ἑπτὰ πανσεβάστους τὸ ξίφος.

'Ακολουθεῖ συναξάριον τοῦ μάρτυρος.

"Αρχ.: Εἰρήναρχος ὁ μάρτυς ἐγένετο ἀπὸ τῆς πόλεως Σεβαστείας· νέος δὲ ὢν τὴν ἡλικίαν, δήμιος τὴν τάξιν ὑπῆρχεν [. . .]
(φ. 126β) Τελ.: [. . .] καὶ ταύτης παραδόξως διασωθείς, τὴν κεφαλὴν ἀποτέμνεται.

κθ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κθ'. Μνήμ(η) τῶν ἁγίων μ(αρτύ)ρ(ων) Παραμόνου· καὶ τῶν ἁγ(ίων) το' μ(αρτύ)ρ(ων)».

'Ο Παράμονος νύττεταί σοι Χ(ριστ)έ μου·
γνοὺς γὰρ Θ(εὸ)ν μόνον σε, σοὶ θνήσκει μόνῳ.
Παράμονον δ' ἐνάτ(η) κτᾶνον εἰκάδ(ι) ἔγχεα μακρά.

Ξίφει κεφαλὰς ἄνδρες ἑπτάκις δέκα,
σὺν ἐξαπλῇ διδοῦσι πεντηκοντάδι.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου βασιλέως καὶ Ἀκυλίνου ἄρχοντος [. . .]
Τελ.: [. . .] (καὶ) ἐν αὐτῷ τῷ χορῷ τῶν το' μαρτύρων (καὶ) ταῖς τούτων θήκαις συνταχθείς, ἀπετμήθη.

«Μνήμ(η) τοῦ ἁγίου μ(άρτυ)ρος Φιλουμ(έν)ου».

Φιλουμένου πείρουσιν ἥλοις τοὺς πόδ(ας),
Θ(εὸ)ν φιλοῦντος καὶ Θ(ε)ῷ φιλουμένου.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Φιλούμενος ὁ μάρτυς ἦν ἐπὶ Αὐρηλιανοῦ βασιλέως· ἐκ Λυκαονίας ὁρμώμενος [. . .]
Τελ.: [. . .] (καὶ) ἐπὶ τριάκοντα σταδίοις ἐλαύνετ(αι), ἕως λιποθυμήσας, τὸ πν(εῦμ)α τῷ Κ(υρί)ῳ παρέθετο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Νικολάου ἀρχιεπισκόπου Θεσσαλονίκης· (καὶ) τοῦ ἁγ(ίου) ἱερομ(άρτυ)ρος Ἰω(άννου) τοῦ ἐν Περσίδι· (καὶ) τῶν ἁγίων ς' μ(αρτύ)ρ(ων) διωκομένων, πέτρας ῥαγείσης καὶ ὑποδεξαμένης αὐτούς, τελειοῦντ(αι)».

Ἤνοιξε πέτραν εἰς ταφὴν ἓξ ἀνδράσιν,
ὁ νεκρὸς εὑρὼν εἰς ταφὴν Χ(ριστὸ)ς πέτραν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος Οὐρβανός, ἐπίσκοπος Μακεδονίας, ἐν εἰρήνῃ τελειοῦται».

Ὁ χερσὶν οὗτος ἐκπνέων τῶν ἀγγέλων,
ξίφος μετελθών, ἔστιν εἷς καὶ μαρτύρω(ν).

«Ὁ ὅσιος Βησσαρίων ἐν εἰρήνῃ τελειοῦται».

Πολλῶν ἱδρώτων καὶ πόνων Βησσαρίων,
πολλὰς θανὼν εὕρηκ(εν) ἀντιμισθίας.

«Ὁ ὅσιος Παγκόσμιος ἐν εἰρήνῃ τε(λειοῦται)».

Σύμπας ὁ κόσμος οὐδὲν ἦν Παγκοσμίῳ,
Ἐδὲμ γὰρ ἦρα καὶ μόνης ἣν λαμβάνει.

«Ὁ ὅσιος Πιτηροῦν ἐν εἰρήνῃ τε(λειοῦται)».

Τῇ σῇ θελήσει πρὸς σὲ χωρεῖ Χ(ριστ)έ μου,
ὁ σῶν[1] Πιτηροῦν ἐργάτης θελημάτων.

«Ὁ ἅγιος μάρτυς Οὐαλλερῖνος ξίφει τε(λειοῦται)».

Διὰ στέφος πάντιμον οἴσω καὶ ξίφος,
ὁ μάρτυς ἐκραύγαζεν Οὐαλλερῖνος.

1. σὸν cod.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος Φαιδρός, ῥητίνης[1] ζεούσης καταχεούσης[2] αὐτῷ, τε(λειοῦται)».

Πολλοὺς πρὸς ἄλλα, πρὸς δὲ ῥητίν(ης) ζέσ(ιν),
στερρῶς ἀθλοῦντα Φαῖδρον ἔγνωμ(εν) μόνον.

λ′ «Μη(νὶ) τῷ αὐτ(ῷ) λ′. Μνήμ(η) τοῦ ἁγίου ἀποστόλ(ου) Ἀνδρέου».

Ἀντίστροφον στ(αύ)ρωσιν Ἀνδρέας φέρει,
φανεὶς ἀληθῶς οὐ σκιώδης ἀντίπους.
Στ(αυ)ρὸν κἀκκεφαλῆς[3] τριακοστῇ Ἀνδρέα ἔτλ(ης).

Ἀκολουθεῖ συναξάριον τοῦ ἀποστόλου.

Ἀρχ.: Οὗτος ἦν ἐκ πόλεως Βηθσαϊδᾶ· υ(ἱὸ)ς μὲν Ἰωνᾶ, ἀδελφὸς δὲ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων [. . .]
(φ. 127β) Τελ.: [. . .] τοῦ δὲ ἀποστόλου τὸ λείψανον μετὰ χρόνον πολὺν μετετέθη ἐν Κωνσταντινουπόλει· ἐν τῷ τῶν ἁγίων Ἀποστόλων ναῷ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Φρουμεντίου ἐπισκόπ(ου) Ἰνδίας».
Ἀκολουθεῖ (φφ. 127β - 128β) συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Κωνσταντίνου τοῦ μεγάλου βασιλέως, Τύριός τις φιλόσοφος ἀπῆλθεν ἱστορήσων τὴν ἐσχάτην Ἰνδίαν [. . .]
(φ. 128β) Τελ.: [. . .] οὗ τὸ τίμιον λείψανον παντοδαπὰς τοῖς προσιοῦσι τὰς ἰάσεις παρέχει[4], εἰς δόξαν [. . .] ἀμήν.

Δ′ «Μ ὴ ν Δ ε κ έ μ β ρ ι ο ς ἔχων ἡμέρ(ας) λα′· ἡ ἡμέρ(α) ἔχει ὥρας θ′ (καὶ) ἡ νὺξ ὥρας ιε′».

α′ «Εἰς τὴν α′. Μνήμ(η) τοῦ ἁγίου Ναοὺμ τοῦ προφήτου».

Ναοὺμ τὸν Ἐλκεσαῖον ἐκπεπνευκότα,
ἕλκει πόθος με μυρίσαι σμύρνῃ λόγε.
Πρώτῃ ἐκ βιότοιο δεκε<μ>βρίου ᾤχετο Ναούμ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἦν ἀπὸ Ἐλκεσὴμ πέραν εἰς Βαταρείμ, ἐκ φυλῆς Συμεὼν [. . .]
(φ. 129α) Τελ.: [. . .] ἡ παράκλησις ἐγὼ πᾶσιν, ἢ φρόνημα ἢ ὑπόληψις.

«Μνήμ(η) τοῦ ἁγ(ίου) Ἀνανίου τοῦ Πέρσου».

Ἀνανίας σάρξ, πρὸς δὲ σαρκὸς αἰκί(ας)
αἴσθησιν ὡς σάρξ οὐδὲ μικρὰν λαμβάνει.

1. ῥυτίνου cod.
2. pro καταχεθείσης
3. κακεφαλῆς cod.
4. παρέχεις cod.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἄρχ.: Οὗτος ἦν ἐκ πόλεως Ἀρβὴλ τῆς Περσίδος ὁρμώμενος [. . .]
Τελ.: [. . .] εἰς πόλιν φωτὸς πλήρη καὶ εὐφροσύνης· καὶ οὕτως ἐτελειώθη.

«Μνήμ(η) τοῦ ἁγ(ίου) Φιλαρέτου τοῦ Ἐλεήμονος».

Θνήσκεις ὁ πᾶσαν ἀρετὴν φερωνύμως,
π(άτ)ερ, φιλήσ(ας), τόν γε μὴν οἶκτον πλέον.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἄρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ Κωνσταντίνου (καὶ) Εἰρήνης· τῆς τῶν Παφλαγόν(ων) χώρας ὁρμώμ(εν)ος [. . .]
Τελ.: [. . .] ταῦτα εἰπὼν καὶ ἐπευξάμενος ἀνεπαύσατο ἐν Κ(υρί)ῳ.

β′ «Μη(νὶ) τῷ αὐτ(ῷ) β′. Μνήμ(η) τοῦ ἁγ(ίου) προφήτ(ου) Ἀββακούμ».

Τάττει Θ(εό)ς σοι τοὺς πόδας τεθνηκότι,
εἰς συντέλειαν Ἀββακοὺμ καθὼς ἔφης.
Δευτερίῃ Ἀββακοὺμ ἀνεβήσατο ἐς Θ(εο)ῦ ἄστυ.

Ἀκολουθεῖ συναξάριον τοῦ προφήτου.

(φ. 129β) Ἄρχ.: Οὗτος ἦν ἐκ φυλῆς Συμεών, υἱὸς Σαφάτ· εἶδε δὲ πρὸ τῆς αἰχμαλωσίας περὶ τῆς ἁλώσεως Ἰ(ερουσα)λὴμ [. . .]
Τελ.: [. . .] καὶ φωτίσει τοὺς διωκομένους ὑπὸ ὄφεως ἐξ ἀρχῆς.

«Μνήμ(η) τῶν ὁσίων π(ατέ)ρων ἡμῶν καὶ ἐρημιτῶν Ἰω(άννου)· Ἡρακλάμωνος· Ἀνδρέου· καὶ Θεοφίλου»·

Ἀνδρῶν τετρακτὺς εἰς ἄλυπον χωρίον
ἐκ θλίψεως γέμοντος ἦλθε χωρίου.

Ἀκολουθεῖ συναξάριον τῶν ὁσίων.

Ἄρχ.: Οὗτοι ὥρμηντο ἐκ πόλεως λεγομένης Ὀξυρύγχου· χριστιανῶν γονέων ὑπάρχοντες τέκνα [. . .]
(φ. 130α) Τελ.: [. . .] ὁ καὶ αὐτόπτης αὐτῶν γενόμενος (καὶ) συγγραφεὺς τοῦ βίου αὐτῶν.

«Μνήμ(η) τῆς ἁγίας μ(άρτυ)ρος Μυρόπης».
Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἄρχ.: Ἡ ἁγία αὕτη Μυρόπη ἐγεννήθη ἐν τῇ τ(ῶν) Ἐφεσίων πόλει· τοῦ δὲ π(ατ)ρ(ὸ)ς αὐτῆς τελευτήσαντος [. . .]
(φ. 130β) Τελ.: [. . .] τὸ δὲ τῆς ἁγίας λείψανον χριστιανοὶ λαβόντες, τῇ τοῦ ἄρχοντος προστάξει, ἐν ἐπισήμῳ τόπῳ κατέθεντο.

γ′ «Μη(νὶ) τῷ αὐτ(ῷ) γ′. Μνήμ(η) τοῦ ἁγ(ίου) προφήτ(ου) Σοφονίου».

Ὁ πρὶν βοήσας τῇ Σιὼν χαῖρε, σφόδρα
χαίρει παραστὰς τῷ Θ(ε)ῷ Σοφονίας.
Φαίδιμος ἐν τριτάτῃ Σοφονίας ἦτορ ἀφῆκε.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἑρμηνεύεται σκοπιὰ Κ(υρίο)υ [. . .]
(φ. 131α) Τελ.: [. . .] μικρὸν τὸ γένειον ἔχων, στρογγυλώτερον.

«Μνήμ(η) τοῦ ἁγίου Θεοδώρου, ἐπισκόπ(ου) Ἀλεξανδρείας».

Ἐν π(ατ)ριάρχαις καὶ Θεόδωρος μέγας,
κἀν τοῖς ἀθληταῖς τοῖς διὰ ξίφους μέγας.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οἱ ἐν Ἀλεξανδρείᾳ τῆς Αἰγύπτου ἄν(θρωπ)οι καὶ μάλιστα οἱ Ἕλληνες καὶ οἱ ἄπιστοι [. . .]
Τελ.: [. . .] τὸ δὲ τίμιον αὐτοῦ λείψανον ἐτέθη ἐν τῇ αὐτοῦ πόλει Ἀλεξανδρείᾳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θεοδούλου».

Κύπρου τὸ κλῆμα Θεόδουλος κυπρίσαν,
καὶ σταφυλῆν ποιῆσαν, ἦλθεν εἰς τρύγ(ην).

«Μνήμ(η) τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θεοδούλου ἀπὸ ἐπάρχου».

Ἐπαρχίαν γῆς, οὐ(ρα)νῶν ἐπαρχίας
ὁ Θεόδουλος ἀντέδωκεν ἐμφρόνως.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ βασιλείας Θεοδοσίου τοῦ μεγ(ά)λ(ου)· π(ατ)ρίκιος καὶ ἔπαρχος πραιτωρίων [. . .]
(φ. 132α) Τελ.: [. . .] (καὶ) μικρὸν ἐπιβιώσας χρόνον, μετὰ χρηστῆς ἐλπίδος πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰω(άννου) ἐπισκόπ(ου) Κολωνίας τοῦ ἡσυχαστοῦ».

Οὐχ ἡσυχάζω· (καὶ) θανόντα γὰρ στέφω
τὸν ἡσυχαστὴν Ἰωάννην τοῖς λόγοις.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Τῷ τετάρτῳ ἔτει τῆς βασιλείας Μαρκιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως [. . .]
(φ. 133α) Τελ.: [. . .] καὶ εἰς βαθύτατον γῆρας ἐλθών, ἐκοιμήθη ἐν Κ(υρί)ῳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) τῶν ἁγί(ων) μ(αρτύ)ρ(ων) Ἀγαπίου, Σελευκίου (καὶ) Μάμα, ξίφει τελειωθέντ(ων)».

Τρεῖς ἄνδρες, Ἀγάπιος, Σέλευκος, Μάμ(ας),
πόθῳ πλάσαντος ἠγάπησαν καὶ ξίφος.

δ' «Τῷ αὐτ(ῷ) μ(η)ν(ὶ) δ'. Μνήμ(η) τῆς ἁγ(ίας) μ(ε)γ(αλο)μ(άρτυ)ρ(ος) Βαρβάρας».

Ξίφει π(ατ)ρ(ὸ)ς θύεσαι μάρτυς Βαρβάρα·
ὑπῆρξεν ἄλλος Ἀβραὰμ διαβόλου.
Βαρβάρα ἀμφὶ τετάρτῃ χερσὶ τοκῆος ἐτμήθη.

Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· τῶν ἀφ' ἡλίου ἀνατολῶν, θυγάτηρ Διοσκόρου τινὸς Ἕλληνος [. . .]
Τελ.: [. . .] κεραυνῷ βληθῆναι καὶ τὴν ψυχὴν ἀπορρίψαντα.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) τῆς ἁγ(ίας) (μάρτυ)ρ(ος) Ἰουλιανῆς».

Ἰουλιανὴν ὡς περιστερὰν δέχου,
εἰμὴ τάχει τέμνοιτο, τρύζουσαν, λόγε.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰω(άνν)ου πρεσβυτέρου μοναχοῦ τοῦ Δαμασκηνοῦ».

Πλήσας μελῶν γῆν ἡδέων Ἰωάννης,
κἀν οὐ(ρα)νοῖς ἄνεισι συνθεῖναι μέλη.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος π(ατ)ὴρ ἡμῶν ἦν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου [. . .], ἐκ Δαμασκοῦ τῆς πόλεως· ἐκ γένους περιφανοῦς [. . .]
(φ. 133β) Τελ.: [. . .] πλεῖστα καὶ αὐτὸς τῇ ἐκκλη(σί)ᾳ συγγράμματα καταλελοιπώς, ἐν εἰρήνῃ τὸν βίον ἀπέλιπε.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἐν ἁγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰω(άνν)ου ἐπισκόπ(ου) Πολυβότου τοῦ θαυματουργοῦ».

Ἐπισκοπ(ὴν) γῆς ἐκλιπὼν Ἰω(άνν)ης,
ἐπισκοποῦντος πάντα τέρπετ(αι) θέᾳ.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος παῖς ὢν καὶ νέος ἤδη γενόμ(εν)ος, οὐ κατὰ παῖδας εἶχε τὸ φρόνημα [. . .]
(φ. 134α) Τελ.: [. . .] ὅσα καὶ δαιμονῶντας ἰώμενον καὶ νόσους ἄλλας[1], ὡς θεραπεύων ὁρᾶται.

ε' «Τῷ αὐτ(ῷ) μ(η)ν(ὶ) ε'. Τοῦ ὁσίου καὶ θεοφόρου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Σάβα τοῦ ἡγιασμένου».

Ψυχὴν ὄπισθεν τοῦ Θ(εο)ῦ κολλῶν πάλαι,
ἔμπροσθεν αὐτοῦ νῦν παρίστατ(αι) Σάβ(ας).
Θεσπεσίοις πόλου πέμπτῃ Σάβα ἐντὸς εἰσήχθης.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μεγάλου· χώρας τῶν Καππαδόκων· κώμης λεγομένης Μουταλάσκης [. . .]
Τελ.: [. . .] ὡς ἐτῶν γενέσθαι ἑβδομήκοντα τεσσάρων, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰωσὴφ τοῦ Φαρανίτου».

Ἰωσὴφ ἀπέθετο φόρτον τοῦ βίου
καὶ πρὸς καλιὰς οὐ(ρα)νίους μετέστη.

1. ἄλλους cod.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὃς ἦν ἀνὴρ λόγιος καὶ διακριτικός· καὶ τέλειος ἐν πάσῃ χάριτι τοῦ Χ(ριστο)ῦ [. . .]
(φ. 134β) Τελ.: [. . .] ἁπλώσ(ας) τοὺς πόδας καὶ τὰς χεῖρ(ας) οὐ στείλας, ἀνεπαύσατο ἐν Κ(υρί)ῳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Διογένης λιθοβοληθεὶς τελειοῦται».

Χαίρων ὑπ' ἀνδρῶν ἐνδιδύσκεται πλάν(ων)
χιτῶνα μάρτυς λίθινον Διογένης.

«Ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Ἀβέρκιος ξίφει τελειοῦται».

Ἔπαθλον Ἀβέρκιος τῆς τομῆς μέγα,
οὐ γὰρ κότινος, οὐ(ρα)νὸς δὲ τὸ στέφος.

«Ὁ ὅσιος Νόνος ἐν εἰρή(νῃ) τελειοῦται».

Φυγόντα Νόνον ἀντικειμένου πέδην,
πεδοῦσι νεκρὸν κείμενον[1] ταῖς κειρίαις.

ς' «Τῷ αὐτ(ῷ) μηνὶ ς'. Μνήμ(η) τοῦ ἐν ἁγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμῶν Νικολάου ἀρχ(ι)επισκόπ(ου) Μύρ(ων) τῆς Λυκί(ας)».

Ὁ Νικόλαος πρέσβυς ὢν ἐν γῇ μέγας,
καὶ γῆς ἀποστάς, εἰς τὸ πρεσβεύειν ζέει.
Ἕκτῃ Νικόλεῳ γε φάνη βιότοιο τελευτή.

Ἀκολουθεῖ (φφ. 134β - 136α) συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ· πρότερον διαπρέψας ἐν τῇ μοναδικῇ πολιτείᾳ [. . .]
(φ. 136α) Τελ.: [. . .] δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θ(εὸν) καὶ τῷ πιστῷ αὐτοῦ θεράποντι τ(ὴν) εὐχαριστίαν ἀπονέμοντες.

«Μνήμ(η) τῆς μετὰ φιλαν(θρωπί)ας ἐπενεχθείσ(ης) φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ».

Κἂν βλέμμα θεῖον ὑψόθεν θυμοῦ γέμον
ποιῇ τρέμειν γῆν, εὐμενὲς ταχὺ βλέπει.

ζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ζ'. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀμβροσίου ἐπισκόπ(ου) Μεδιολάνων».

Τὸ φθαρτὸν Ἀμβρόσιος ἐκδὺς σαρκίον,
θείας μετέσχεν ἀμβροσίας ἀξίως.
Ἑβδομάτ(ῃ) Ἀμβρόσιος ποτὶ ἄμβροτον ἤλυθ(εν) οὖδ(ας).

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος γέγονεν ἐκ τῆς μεγαλοδόξου πόλεως Ῥώμης· εἷς ὢν τῆς συγκλήτου, ἔν τε λόγοις ἔχων προσφυῶς [. . .]

1. κειμένου cod.

(φ. 136β) Τελ. : [. . .] καταλύει τὸν βίον· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μ(ε)γ(ά)λ(η) ἐκκλη(σί)ᾳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Ἀθηνοδώρου».

Χαίρων Ἀθηνόδωρος, εἰ τμηθῇ ξίφει,
ἀφῃρέθη τὸ πν(εῦμ)α καὶ πρὸ τοῦ ξίφους.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως· ἐκ Μεσοποταμίας τῆς Συρίας ὁρμώμενος, μονήρη βίον ἀρχῆθεν ἀναλαβὼν [. . .]
Τελ.: [. . .] αὐτὸς ὁ ἅγιος ἐπευξάμενος τῷ Κ(υρί)ῳ, τὸ πν(εῦμ)α παρέθετο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος Νεόφυτος, ἐν τῇ θαλάσσῃ βληθείς, τελειοῦται».

Θανὼν ὁ Νεόφυτος ὑδάτων μέσον,
παρ' ὑδάτων ζῇ μυστικῶν διεξόδους.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος Δομέτιος ξίφει τε(λειοῦται)».

Δὸς Δομέτιε χριστομάρτυς καὶ λάβε,
δὸς τὴν κεφαλὴν καὶ λάβε στέφος μέγα.

«Οἱ ἅγιοι Ἰσίδωρος, Ἀκεψιμ(ᾶς) κ(αὶ) Λέων πυρὶ τε(λειοῦνται)».

Διττοῖς συνάθλοις Ἰσίδωρε συμφλέγου,
ἴσων γὰρ αὐτοῖς δωρεῶν Θ(εο)ῦ τύχῃς.

«Ὁ ὅσιος Ἀμμοῦν, ἐπίσκοπ(ος) Νητρί(ας), ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ἀμμοῦν π(ατ)ρ(ὸ)ς κατεῖδε Νητρία τρία,
κόσμου φυγήν, ἄσκησιν, ἔξοδον βίου.

«Οἱ ἅγιοι μάρτ(υ)ρ(ες) Γαϊανὸς (καὶ) Γάιος πυρὶ τε(λειοῦνται)».

Ἂν καὶ καμίνου Γάιε βληθεὶς μέσον,
σοῦ, Γαϊανός, οὐκ ἀφέξομαι, λέγει.

«Οἱ ἅγιοι μάρτ(υ)ρ(ες) τ' οἱ ἐν Ἀφρικῇ ξί(φει) τε(λειοῦνται)».

Δόξης ὑπὲρ σῆς, ὦ τριάς, τετμημένοι,
διπλοτριπλῆν δέχου μ' ἑξηκοντάδα.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ὅσιος Ἰγνάτιος, ὁ πλησί(ον) τῶν Βλαχερνῶν κείμενος, ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Πλήρης ἀπῆλθες πράξεων χρηστῶν, π(άτ)ερ,
ἐκ τοῦ ματαίου καὶ κακοπλήρους βίου.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Παύλου μοναχοῦ τοῦ ὑποτακτικοῦ».

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν οὗτος, ἐν τοῖς κατὰ κόσμον οὔτε περιφανὴς γέγονεν, οὔτε πάλιν πένης [. . .]

(φ. 137β) Τελ.: [. . .] τῷ Θ(ε)ῷ προσεκύνησε· καὶ μικρὸν ἐν τούτῳ ἐπιβιούς, ἐκοιμήθη ἐν Κ(υρί)ῳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τ(ῶν) ἁγ(ίων) μ(αρτύ)ρ(ων)· Πρίσκου· Μαρτίνου (καὶ) Νικολάου· ὧν ὁ μὲν λιμῷ· ὁ δὲ πέλυξι κατακοπείς· ὁ δὲ τρίτος διὰ πυρὸς ἐτελειώθ(η)· ἡ δὲ σύναξ(ις) αὐτ(ῶν) τελεῖτ(αι) πλησίον τοῦ τείχους τ(ῶν) Βλαχερν(ῶν)».

Λιμῷ θανόντα Πρίσκον ἄρτου γηΐνου,
ὁ Χ(ριστὸ)ς ἄρτον ψωμιεῖ τῶν ἀγγέλων.

Πέλυξι συγκόπτουσι Μαρτίνου κρέα,
κρεῶν μακέλλαι δυσσεβεῖς ἀν(θρωπ)ίνων.

Ἐξῆλθε δόγμα δαίμοσι πλάνης θύειν,
οἷς Νικόλαε μὴ θύων, εἰς πῦρ θύῃ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) τὰ ἐγκαίνια τοῦ ναοῦ τ(ῆς) ὑπεραγίας Θ(εοτό)κου ἐν τοῖς Κουράτωρος».

η' «Μη(νὶ) τῷ αὐτ(ῷ) η'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Παταπίου».

Φθαρτὸν λελοιπὼς Πατάπιε γῆς πάτον,
πατεῖς ὅνπερ πατοῦσιν οἱ πράων πόδες.
Ὀγδοάτ(ῃ) Πατάπιε χλόης πέδον ἀμφεπάτησας.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐκ Θηβῶν τῶν κατ' Αἴγυπτον· τὸν μονήρη βίον ἑλόμ(εν)ος [. . .]
(φ. 138α) Τελ.: [. . .] καὶ δαίμονας ἀπελάσας καὶ καρκῖνον θεραπεύσας, ἐν εἰρήνῃ τῷ Κ(υρί)ῳ τὸ ἑαυτοῦ παρέθετο πν(εῦμ)α.

«Μνήμ(η) τῶν ἀναιρεθέντ(ων) ἐν Ἀφρικῇ ἁγ(ίων) μ(αρτύ)ρ(ων)».
Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι μάρτυρες κατὰ τοὺς καιροὺς ὑπῆρχον Ζήνωνος βασιλέ(ως) Ῥωμαί(ων) [. . .]
(φ. 138β) Τελ.: [. . .] ὡς ἡ τοῦ Θ(εο)ῦ κρίσις δραστικωτέρα τοῦ πυρὸς αὐτῷ γέγονεν.

«Μνήμ(η) τῶν ἁγ(ίων) ἀποστόλ(ων) ἐκ τῶν ο'· Σωσθένους· Ἀπολλῶ· Κηφᾶ· Τυχικοῦ· Ἐπαφροδίτου· Κ(αί)σαρος· (καὶ) Ὀνησιφόρου».
Ἀκολουθεῖ συναξάριον τῶν ἀποστόλων.

Ἀρχ.: Τούτων ὁ μὲν Σωσθένης, οὗ καὶ ὁ ἅγιος Παῦλος μέμνηται, ἐπίσκοπος Κολοφῶνος ἐγένετο [. . .]
Τελ.: [. . .] ἐτελειώθησαν παραδόντες αὐτῶν τὰς ψυχὰς τῷ Κ(υρί)ῳ.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Σωφρονίου ἐπισκόπου Κύπρου».

Πᾶν Σωφρόνιος σαρκικὸν σβέσας πάθος,
καὶ σαρκὸς αὐτῆς ἐξαπέπτη πηλίνης.

θ' (φ. 139α) «Μη(νὶ) τῷ αὐτ(ῷ) θ'. Ἡ σύλληψις τ(ῆς) ἁγίας Ἄννης, ὅτε συνέλαβε τὴν ὑπ(ερα)γ(ίαν) Θ(εοτό)κον».

Οὐχ ὥσπερ Εὔα καὶ σὺ σὺν λύπαις τέκῃς,
χαρὰν Ἄννα ἔνδον κοιλίας φέρεις.
Τῇ δ' ἐνάτῃ Μαρίην θεομήτορα σύλλαβ(εν) Ἄννα.

Ἀκολουθεῖ συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Ὁ Κ(ύριο)ς ἡμῶν καὶ Θ(εὸ)ς θέλων ἑτοιμάσαι ἑαυτῷ ναὸν ἔμψυχον καὶ οἶκον ἅγιον [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ σύναξις ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς Θ(εοτό)κου τῷ ὄντι ἐν τοῖς Εὐοράνοις· πλησίον τῆς ἁγιωτάτης ἐκκλησίας.

«Μνήμ(η) τῆς ἁγί(ας) προφήτιδος Ἄνν(ης), τ(ῆς) μ(ητ)ρ(ὸ)ς Σαμουήλ».
Ἀκολουθεῖ συναξάριον.

Ἀρχ.: Ἡ ἁγία καὶ μακαρία Ἄννα ἡ προφῆτις ἦν ἐκ πόλεως Ἀρμαθαίμ· ἐξ ὄρους Ἐφραὶμ [. . .]
(φ. 139β) Τελ.: [. . .] ἀεὶ καὶ προφητεύουσα μετῆλθε πρὸς τὰς αἰωνίους μονάς.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Στεφάνου τοῦ νεολαμποῦς, τοῦ ἐν τῷ ἁγίῳ Ἀντίπᾳ κειμ(έν)ου».

Ἐξήγαγες γῆς τὸν Στέφανον ἐκ βίου,
στέφει δὲ δόξης ἐστεφάνωσας λόγε.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

(φ. 140α) Ἀρχ.: Οὗτος ὁ ἀρτιφανὴς ἀστὴρ ὑπῆρχεν Κωνσταντινουπόλεως γέννημα καὶ θρέμμα [. . .]
(φ. 140β) Τελ.: [. . .] ἢ μᾶλλον νεκρώσεως, τὸ πν(εῦμ)α αὐτοῦ τῷ Κ(υρί)ῳ παρέθετο.

«Μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων)· Σωσιθέου· Ναρσῆ καὶ Ἰσαάκ· διὰ ξίφους τελειωθέντ(ων)».

Σωσίθεον σωθεῖσιν ἐγγράφει λόγος,
ὑπὲρ Θ(εο)ῦ σώζοντος ἐκτετμημένον.

Πέρσης κάραν σοι Ναρσῆς Χ(ριστ)ὲ προσφέρει,
κρεῖττον δὲ δῶρον σμυρνοχρυσολιβάνου.

Πάθους τὸ λεῖπον Ἰσαὰκ Σάρρας τέκνου,
σφαγεὶς ἀνεπλήρωσεν Ἰσαὰκ νέος.

ι' «Μη(νὶ) τῷ αὐτ(ῷ) ι'. Μνήμ(η) τῶν ἁγίων μ(αρτύ)ρ(ων)· Μηνᾶ· Ἑρμογένους· καὶ Εὐγράφου».

Τμηθεὶς ὁ Μηνᾶς κἂν κελαδεῖν οὐκ ἔχῃ,
φιμοῖ κελαδοῦν δυσσεβείας τὸ στόμα.

Τὴν δυσσέβειαν ἐκπτύσας Ἑρμογένης[1],
ὑπῆρξε μάρτυς εὐσεβείας ἐκ ξίφους.

1. Ἑρμουγένους cod.

Τὰς ἐκ μαχαίρας Εὔγραφε τρώσεις φέρων,
ὀξὺς Θ(εο)ῦ κάλαμος ὤφθης εὖ γράφων.

Εὐκέλαδος δεκάτ(η) Μηνᾶς ξίφει αὐχένα δῶκ(εν).

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτος ἦν ὁ ἅγιος Μηνᾶς, ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ· ζητήσεως δὲ γενομ(ένης) παρὰ τῶν Ἀλεξανδρέων [. . .]
(φ. 141α) Τελ.: [. . .] τὸ δὲ μαρτύριον αὐτῶν, ὡς φασίν, ὁ μέγας Ἀθανάσιος ὁ Ἀλεξανδρεὺς συνεγράψατο.

«Ὁ ἅγιος Γέμελλος στ(αυ)ρωθεὶς τελειοῦται».

Ὑπὲρ Θ(εο)ῦ Γέμελλος ἐστ(αυ)ρωμένου,
τὴν ἐν ξύλῳ στ(αύ)ρωσιν ἀσμένως φέρει.

ια΄ «Μη(νὶ) τῷ αὐτ(ῷ) ια΄. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Δανιὴλ τοῦ στυλίτου».

(φ. 141β) Καὶ γήινον πᾶν ἀλλὰ κ(αὶ) γῆν ἐκκλίνων,
οἰκεῖ Δανιὴλ τ(ὸν) πρὶν στῦλον καὶ νῦν πόλον[1].
Ἑνδεκάτ(η) Δανιὴλ στυλοβάμ(ων) εὕρατο τέρμα.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος γέγονεν ἐπὶ Λέοντος τοῦ μεγάλου βασιλέως τοῦ Βέσου· ἀπὸ Μεσοποταμίας τῆς Συρίας ὁρμώμενος [. . .]
Τελ.: [. . .] καὶ ὁσίως καὶ ἀμέμπτως τὸν βίον διατελέσας, πρὸς Κ(ύριο)ν ἐξεδήμησε· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Ἀνάπλῳ.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμῶν Δανιὴλ [γρ. Λουκᾶ][2] τοῦ νεοστυλίτου».

Πρὸς ὕψος ἀνήγαγε τὸν Λουκᾶν στῦλος,
Λουκᾶς δὲ τὸν νοῦν πρὸς Θ(εὸ)ν πρὸς ὃν τρέχει.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου (Λουκᾶ τοῦ νέου στυλίτου).

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου τοῦ πορφυρογεννήτου [. . .]
(φ. 142α) Τελ.: [. . .] τεσσαρακονταπέντε χρόνους διηνυκὼς ἐν τῷ κίονι· καλῶς οὖν ἀγωνισάμενος, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων) Ἀκεψεῆ καὶ Ἀειθαλᾶ».

Ἀκεψεὴν βλέπων με πάσχοντα ξίφει,
Ἀειθαλᾶ ζήλωσον· ἐζήλωσά σε.

---

1. πόλου cod.
2. Ὁ γραφεύς, ἐνταῦθα, ἐκ παραδρομῆς ἐπαναλαμβάνει τὸ ὄνομα τοῦ Δανιὴλ ἀντὶ τοῦ Λουκᾶ τοῦ νεοστυλίτου, τοῦ ὁποίου καὶ παραθέτει τοὺς στίχους καὶ τὸ συναξάριον. Ἡ μνήμη καὶ τῶν δύο ὁσίων στυλιτῶν τιμᾶται τὴν 11ην Δεκ., ἐξ οὗ καὶ τὸ ἀντιγραφικὸν σφάλμα.

'Ακολουθεῖ συναξάριον τῶν μαρτύρων.

"Αρχ.: Οὗτοι ὑπῆρχον ἐκ Περσίδος· ἦν μὲν ὁ 'Αειθαλᾶς τῶν εἰδώλων ἱερεὺς [. . .]
Τελ.: [. . .] οὗ κατενώπιον ὁμολογήσαντες τ(ὸν) Χ(ριστό)ν, τὰς κεφαλὰς ἀπετμήθησαν.

«Μνήμ(η) μείρακός τινος (καὶ) διήγησις ὠφέλιμος».

"Αρχ.: Οὗτος ὁ μακάριος μάρτυς τοῦ Χ(ριστο)ῦ μεῖραξ ἦν μὲν Αἰγύπτιος τὸ γένος [. . .] (φ. 143α) Τελ.: [. . .] εἰς πληροφορίαν δὲ βεβαίαν τ(ῶν) σκανδαλισθέντων (καὶ) διστα-ζόντ(ων) ὑπὲρ αὐτοῦ.

ιβ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιβ'. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν (καὶ) θαυματουρ-γ(οῦ) Σπυρίδωνος.

'Ο θαυματουργὸς κἂν τέθνηκε Σπυρίδων,
τοῦ θαυματουργεῖν οὐκ ἔληξεν εἰσέτι.

'Ακολουθεῖ συναξάριον τοῦ ὁσίου.

"Αρχ.: Οὗτος ἤκμασεν ἐπὶ τῆς βασιλείας Κ(ων)σταντίνου τοῦ μεγάλου [. . .] ἦν δὲ τὸν τρό-πον ἁπλοῦς (καὶ) τὴν καρδίαν ταπεινὸς [. . .]
(φ. 143β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου Πέτρου τῷ συγκειμ(έν)ῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

«Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) 'Αλεξάνδρου ἀρχιεπισκόπ(ου) 'Ιεροσολύμων».
'Ακολουθεῖ συναξάριον τοῦ ἁγίου.

"Αρχ.: Βασιλεύοντος Δεκίου ἐν τῇ πρεσβυτέρᾳ 'Ρώμῃ, διωγμὸν μέγαν ἐξήγειρε κατὰ τῶν χριστιανῶν [. . .]
(φ. 144α) Τελ.: [. . .] καὶ ὀθονίοις εἰλήσαντες[1], ἐν ἐπισήμῳ τόπῳ κατέθεντο.

«Μνήμ(η) τῶν ὁσίων π(ατέ)ρων ἡμῶν 'Αμμωναθᾶ κ(αὶ) 'Ανθοῦ».

Μισῶ τὰ τῆς γῆς, ἄγγελοι δέξασθέ με,
'Αμμωναθᾶς ὁ θεῖος ἐκλείπων λέγει.

Τὸ τοῦ προφήτου προσφόρως Δα(βὶδ) φάναι,
ὡς ἄνθος ἀγροῦ θεῖος "Ανθος ἐρρύη.

ιγ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιγ'. Μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων)· Εὐστρατίου· Αὐξεντίου· Εὐγενίου· Μαρδαρίου· (καὶ) 'Ορέστου».

Τὸν Εὐστράτιον καὶ συνάθλους δὶς δύο,
ἅπαξ δύο κτείνουσι, πῦρ τε καὶ ξίφος.

'Ακολουθεῖ συναξάριον τῶν μαρτύρων.

"Αρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν δυσσεβῶν βασιλέων· καὶ Λυ-σίου δουκὸς (. . .]
(φ. 145α) Τελ.: [. . .] ἡ δὲ σύναξις αὐτῶν τελεῖται ἐν τῷ σεπτῷ ἀποστολείῳ [. . .] 'Ιω(άν-νου) τοῦ Θεολόγου· πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

---

1. σὐλίσαντες cod.

«Μνήμ(η) τ(ῆς) ἁγί(ας) μ(άρτυ)ρος Λουκίας τ(ῆς) παρθ(έ)νου».

Ὡς παρθένος μέν, ἓν στέφος σοι Λουκία,
ὡς δ' ἐ‹κ› ξίφους (καὶ) μάρτυς, ἄλλο λαμβάνεις.

Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐκ τῆς Συρακούσης πόλεως τ(ῆς) κατὰ Σικελίαν· μεμνηστευμένη ἀνδρὶ [. . .]
(φ. 145β) Τελ.: [. . .] διὰ τὸ ὑπὸ τοῦ Θ(εο)ῦ ταύτην φυλάττεσθαι, ξίφει τὴν αὐτῆς ἀπέτεμον κεφαλ(ήν).

ιδ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιδ'. Μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων) Θύρσου καὶ Λευκίου».

Οὐ δένδρινόν σε Θύρσε θύραν ὁ πρίων
πρὸ τῆς τελευτῆς εὗρεν ὡς ῥᾷστα πρῖσ(αι).

Ὁ πν(εῦμ)α λευκὸς Λεύκιος τμηθεὶς ξίφει,
τὸ σῶμα βάπτει φοινικοῦν ἐξ αἱμάτων.

Κρίσιν ἀλύξας Θύρσε θάνες δεκάτ(η) τετάρτη.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου βασιλέως (καὶ) Κουμβρικίου ἡγεμόνος· τοῦ οὖν ἡγεμόνος διωγμὸν κατὰ τῶν χριστιανῶν κινοῦντος [. . .]
(φ. 146α) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρίῳ αὐτῶν, τῷ ὄντι πλησίον τῶν Ἑλενιανῶν.

«Ὁ ἅγ(ιος) Καλλίνικος ξίφει τελειοῦται».

Ὁ Καλλίνικος ἐκκοπεὶς τὸν αὐχένα,
ὑπῆρξε καλλίνικος ἐκ τ(ῶν) πραγμάτων.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τ(ῶν) ἁγ(ίων) μ(αρτύ)ρ(ων) Ἀπολλωνίου (καὶ) Φιλήμονος».

Ἔτερπεν αὐλοῖς πρὶν Φιλήμων τοὺς φίλους,
τανῦν δὲ τμηθεὶς τέρπεται τέρψιν ξένην.

Ἀπολλώνιον, υἱὸν Ὑψίστου σέβων[1],
κτείνουσιν υἱοὶ τῆς ἀπωλείας ξίφει.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως· καὶ Ἀρειανοῦ ἡγεμόνος Θηβαΐδος [. . .]
(φ. 147α) Τελ.: [. . .] ἐπὶ νώτου δελφῖνος ἐποχούμενον, κατὰ τὴν τοῦ ἁγίου πρόρρησιν καὶ ἐτάφη.

1. Metri gratia, pro σέβοντα.

«Ὁ ἅγιος Ἀρειανὸς κ(αὶ) οἱ πιστεύσαντες προτίκτορες ἐν τῇ θαλάσσῃ βληθέντες τελειοῦνται».

Τὸν Ἀρειανὸν ἐργάται πονηρίας
ἔργον θαλάσσης δεικνύουσιν ἀφρόνως.

Βάπτισμα πόντος τοῖς προτίκτορσ(ι) ξένοις,
φοροῦσι σάκκους ὡς στολὰς ἐμφωτίους.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Μετὰ τὸ βασανίσαι τοὺς ἁγίους διαφόροις τιμωρίαις ὁ Διοκλητιανὸς [. . .]
Τελ.: [. . .] ταῦτα κατέθηκ(αν) ἐν Ἀλεξανδρείᾳ, κηδεύσαντες ἐντίμως.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τῆς μετὰ φιλαν(θρωπ)ίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ· ἧς παρ' ἐλπίδα πᾶσαν ἐλυτρώσατο ἡμᾶς ὁ φιλάν(θρωπ)ος Κ(ύριο)ς».

ιε' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιε'. Μνήμ(η) τοῦ ἁγίου ἱερομ(άρτυ)ρος Ἐλευθερίου».

Ἐλευθέριος ὡς ἀδουλόνους[1] φύσει
σπάθας θεωρῶν, οὐκ ἐδουλοῦτο πλάνῃ.
(φ. 147β) Θεῖον Ἐλευθέριον δεκάτ(η) πέφνε φάσγανα πέμπτῃ.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ πόλεως Ῥώμης· πάνυ νέος τὴν ἡλικίαν, ἐκ π(ατ)ρ(ὸ)ς ὀρφανός, μ(ητέ)ρα δὲ μόνην ἔχων [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρίῳ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Ξηρολόφου.

«Ἡ ἁγ(ία) Ἀνθία ἡ μ(ήτ)ηρ τοῦ ἁγ(ίου) ξίφει τελειοῦται».

Δίδωσι μήτηρ[2] νεκρικὸν κόσμον τέκνῳ,
αὐτὴν ἑαυτὴν συγκεκομμένην σπάθαις.

«Ὁ ἅγ(ιος) Κορέμων ὁ ἔπαρχος ξί(φει) τε(λειοῦται)».

(φ. 148α) Ἀθλήσας οὐκ εἶχε Κορέμων κόρον,
ἕως ἐτμήθη τῷ ξίφει τὸν αὐχένα.

«Οἱ δύο δήμιοι πιστεύσαντ(ες) τῷ Χ(ριστ)ῷ ξί(φει) τε(λειοῦνται)».

Θ(εό)ν σε γνόντες, δημίους σ(ῶτ)ερ δύο
ἄλλοι κατακτείνουσι δήμιοι ξίφει.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) τοῦ ἁγίου μάρτυρος Ἐλευθερίου τοῦ κουβικουλαρίου».
Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος τὸ Βυζάντιον ἔσχε π(ατ)ρίδα· ὀρθοδοξίᾳ διαλάμπων [. . .]
(φ. 148β) Τελ.: [. . .] μύροις εὐωδιάσας, τοῦτο ἀξίως ἐν ἐπισήμῳ κατέθετο τόπῳ.

1. ἀδολόνους cod.
2. μρι [= μ(ητ)ρὶ] cod.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγίου μ(άρτυ)ρος Βάκχου τοῦ νέου».

Μὴ δεύτερόν τις μηδὲ Βάκχον τὸν μέγαν
ἐν τοῖς ἀθληταῖς ταττέτω διὰ ξίφους.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸς) ἡμῶν Παύλου τοῦ νέου· ἀσκήσαντος ἐν τοῖς χρόνοις τοῦ Πορφυρογεννήτου ἐν τῷ ὄρει Λάτρους». «Ἰστέον ὅτι ὁ [. . .] Ἰω(άννης) ὁ Χρυσόστομος ἐν τῇ αὐτῇ ἡμέρᾳ ἐχειροτονήθη π(ατ)ριάρχης Κωνσταντινουπόλεως [. . .]

ις' «Μη(νὶ) τῷ αὐτ(ῷ) ις'. Μνήμ(η) τοῦ ἁγίου προφήτου Ἀγγαίου».

Ἀγγαῖος ἄγγος πλῆρες ὤφθη χαρίτων,
ὡς ὑλικὸν δὲ τῷ χρόνῳ συνετρίβη.
Ἕκτη κ(αὶ) δεκάτ(ῃ) Ἀγγαῖον γαῖα συνέσχεν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἦν ἐκ φυλῆς Λευΐ, ἐτέχθη δὲ εἰς Βαβυλῶνα ἐπὶ τῆς αἰχμαλωσί(ας) [. . .]
(φ. 149α) Τελ.: [. . .] ἑρμηνεύεται δὲ ἑορτή· ἢ ἑορτάζων· ἢ ἑορταζόμενος.

«Ὁ ἅγιος Μαρῖνος ξίφει τελειοῦται».

Κάραν Μαρῖνος εὐτρεπίζει τῷ ξίφει,
ἧς ὁ στέφανος εὐπρεπὴς ἐν Κ(υρί)ῳ.

«Οἱ ἅγιοι Πρόμος καὶ Ἱλάριος πυρὶ τε(λειοῦνται)».

Χλόη τις ἡ φλόξ ἐστιν εἰπόντος Πρόμου,
Ἱλάριος, ναί, φησίν, φίλτατε Πρόμε.

«Μνήμ(η) τῶν ἐν ἁγίοις π(ατέ)ρων ἡμ(ῶν) Μέμνωνος ἀρχιεπισκόπου Ἐφέσου· (καὶ) Μοδέστου· Ἱεροσολύμων ἀρχιεπισκόπου».

Φέρει Μόδεστε παμμάκαρ κ(αὶ) σὸν τάφον
ἡ τὸν τάφον φέρουσα γῆ τοῦ Κυρίου.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ἡ κοίμησις π(ατ)ριάρχου Κωνσταντινουπόλεως Νικολάου· (καὶ) τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Χριστοφόρου πλησίον τοῦ ἁγίου Πολυεύκτου· καὶ μνήμη τῆς ἀοιδίμου βασιλίσσης (καὶ) θαυματουργοῦ Θεοφανῶ⟨ς⟩· συζύγου γεναμένης Λέοντος τοῦ σοφωτάτου βασιλέως».

Ἐγγὺς βασιλὶς Θεοφανὼ Κ(υρίο)υ,
ταῖς ἀρεταῖς ἕστηκεν ἐστιλβωμένη.

Ἀκολουθεῖ συναξάριον τῆς ἁγίας (φφ. 149α - 150α).

Ἀρχ.: Αὕτη ὑπῆρχεν γέννημα καὶ θρέμμα τῆς Κωνσταντινουπόλεως· ἐξ αἵματος βασιλικοῦ τὴν γέννησιν ἔχουσα [. . .]
(φ. 150α) Τελ.: [. . .] ἀσπάσασθαι αὐτὴν πάντας προετρέψατο τὸν τελευταῖον ἀσπασμόν· (καὶ) οὕτως ἐν εἰρή(νῃ) τὸ πν(εῦμ)α τῷ Κ(υρί)ῳ παρέθετο.

«Τῇ Κυριακῇ τ(ῶν) ἁγί(ων) προπατόρων».
Ἀκολουθεῖ συναξάριον.

Ἀρχ.: Τὰ κατὰ τὸν μακάριον Ἀβραὰμ ἀπὸ τῆς βίβλου τῆς Γενέσεως [. . .]
(φ. 150β) Τελ.: [. . .] οὐ πόρρω πάνυ τὴν τούτου μνείαν πανηγύρεως ἄγειν ἡμέραν ὡς γενάρχου τε καὶ προπάτορος.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τῶν δικαίων προπατόρων ἀπὸ Ἀδὰμ μέχρι καὶ Ἰωσὴφ κατὰ γενεαλογίαν· ὁμοίως (καὶ) τῶν προφητ(ῶν) (καὶ) προφητίδων». «Μνήμη τῶν πρωτοπλάστων Ἀδὰμ (καὶ) Εὔ(ας)».

Ὑμνῶ θανόντας ζῶν γένους ἀρχηγέτας,
τοῦ ζῆν με καὶ θνήσκειν με τοὺς παραιτίους.

«Μνήμ(η) τοῦ δικαίου Ἄβελ, υἱοῦ Ἀδάμ».

Βοᾷ Θ(ε)ῷ σὸν αἷμα καὶ ψυχῆς δίχα,
ὦ πρῶτε νεκρῶν καὶ πρῶτε σεσωσμέν(ων).

«Μνήμ(η) τοῦ δικαίου Σήθ, υἱοῦ Ἀδάμ».

Σὴθ σπέρμα καινὸν τοῖς γονεῦσ(ιν) ἀντ' Ἄβελ,
ἄν(θρωπ)ος ὢν[1] δίκαιος [οἷος][2] ἦν Ἄβελ.

«Μνήμ(η) τοῦ δικαίου Ἐνώς, υἱοῦ Σήθ».

Πολλοῖς ἐνῆκε ζῆλον εἰς τὴν ἐλπίδα,
ὀφθεὶς Ἐνὼς μέγιστος ἐκ τῆς ἐλπίδος.

«Μνήμ(η) τοῦ δικαίου Καϊνάν, υἱοῦ Ἐνώς».

Βίβλῳ Καϊνὰν Μωσέως γεγραμμένος[3],
κἀν τῷ παρόντι χρὴ γραφῆναι βιβλίῳ.

«Μνήμ(η) τοῦ δικαίου Μαλελεήλ, υἱοῦ Καϊνάν».

Ἑξῆς προκείσθω Μαλελεὴλ τῷ λόγῳ,
υἱὸς Καϊνὰν οὗ προεμνήσθη λόγος.

«Μνήμ(η) τοῦ δικαίου Ἰάρεδ υἱοῦ Μαλελεήλ».

Δίκαιον ὄντως ἐν[4] δικαίων πληθύϊ,
καὶ τοῦ δικαίου μνημονεύειν Ἰάρεδ.

«Μνήμ(η) τοῦ δικαίου Ἐνώχ, υἱοῦ Ἰάρεδ».

Θ(ε)ῷ προδήλως εὐαρεστήσας λόγῳ,
Ἐνὼχ ἀδήλοις ἐγκατῳκίσθη τόποις.

«Μνήμ(η) τοῦ δικαίου Μαθουσάλα, υἱοῦ Ἐνώχ».

Ἐνώχ σε τέκνον ἐκμαθὼν Μαθουσάλα,
ἔγραψα πρὸς μάθησιν ἄλλων[5] ἐνθάδε.

1. ἦν cod.
2. οἷος om. cod.
3. γεγραμμένον cod.
4. ἐκ cod
5. ἄλλον cod.

«Μνήμ(η) τοῦ δικαίου Λάμεχ, υἱοῦ Μαθουσάλα».

Λάμεχ δύο γνούς, δεῖν ἔγνων τιμᾶν ἕνα,
οὐ τὸν φονευτήν, ἀλλ' ὁμώνυμον Λάμεχ.

«Μνήμ(η) τοῦ δικαί⟨ου⟩ Νῶε, υἱοῦ Λάμεχ».

Ἀδὰμ βροτοῖς ὄλεθρον ἐκ ξύλου φέρει,
διὰ ξύλου δὲ Νῶε πᾶν σώζει γένος.

«Μνήμ(η) τοῦ δικαίου Σήμ, υἱοῦ Νῶε».

Σὴμ π(ατ)ρικὴν γύμνωσιν ἐμφρόν(ως) σκέπ(ων),
τὰς π(ατ)ρικὰς ἐφεῦρ(εν) εὐχὰς εἰς σκέπην.

«Μνήμ(η) τοῦ δικαίου Ἰάφεθ, υἱοῦ Νῶε».

Μὴ θεὶς Ἰάφεθ π(ατ)ρ(ὸ)ς αἰσχύνη πλάτος,
βίου πλατυσμὸν εὐχαῖς π(ατ)ρ(ὸ)ς λαμβάνει.

(φ. 151α) «Μνήμ(η) τοῦ δικαίου Ἀρφαξάδ, υἱοῦ Σήμ».

Ζῇ Κ(ύριο)ς, ζῶν οὐ τὸν Ἀρφαξὰδ λείπω,
καὶ γὰρ χρεὼν καὶ τοῦτον ἐνθάδε γράφειν[1].

«Μνήμ(η) τοῦ δικαίου Καϊνάν, υἱοῦ Ἀρφαξάδ».

Καϊνὰν ἡμῖν ἐξεγήγερται νέος,
τῷ πρὶν Καϊνὰν ἐμφερὴς ἐκ τοῦ τρόπου.

«Μνήμ(η) τοῦ δικαίου Σάλα, υἱοῦ Καϊνάν».

Συμπατριωτῶν ὁρμαθῷ καὶ συμφύλων
ἡ συγγένεια συνδέει καὶ τὸν Σάλα.

«Μνήμ(η) τοῦ δικαίου Ἕβερ, υἱοῦ Σάλα, ἀφ' οὗ οἱ Ἰουδαῖοι ἐκλήθησαν».

Μέγας τις ὄντως τοῖς Ἰουδαίοις Ἕβερ,
δοὺς ἐξ ἑαυτοῦ κλῆσιν Ἑβραίων γένει.

«Μνήμ(η) τοῦ δικαίου Φάλεκ, υἱοῦ Ἕβερ».

Πανηγυρίζω καὶ τὸν ἐξ Ἕβερ τόκον,
ὡς Μωϋσῆς γάρ φησι, τίκτει τὸν Φάλεκ.

«Μνήμ(η) τοῦ δικαίου Ῥαγάβ, υἱοῦ Φάλεκ».

Πάλιν κύησις καὶ πάλιν τόκος νέος,
υἱὸν Ῥαγὰβ τεκόντος ἡμῖν τοῦ Φάλεκ.

«Μνήμ(η) τοῦ δικαίου Σερούχ, υἱοῦ Ῥαγάβ».

Γράφων παλαιῶν τοὺς ὑπ' ἀλλήλων τόκους,
ἂν ἐκλάθωμαι τὸν Σερούχ, ἁμαρτάνω.

1. γράφε cod.

«Μνήμ(η) τοῦ δικαίου Ναχώρ, υἱοῦ Σερούχ».

Γένους ὑπάρχειν[1] τ(ῶν) ἄνω λελεγμένων
καὶ τὸν Ναχὼρ γνούς, οὐ διιστῶ τοῦ γένους.

«Μνήμ(η) τοῦ δικαίου Θάρα, υἱοῦ Ναχώρ».

Υἱὸς προελθὼν ἐκ Ναχὼρ κλῆσιν Θάρα,
π(ατ)ὴρ ὑπῆρξε π(ατ)ρ(ὸ)ς ἐθνῶν μυρίων.

«Μνήμ(η) τοῦ δικαίου Ἀβραάμ, υἱοῦ Θάρα».

Τὸν Ἀβραὰμ πῶς δεξιώσομ(αι) λόγοις,
ὃς ἠξιώθη δεξιοῦσθαι καὶ νόας;

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Ἰσαάκ».

Ἀχθεὶς Ἰσαὰκ εἰς σφαγήν, τύπος γίνῃ
ἐπὶ σφαγὴν ἥξοντος ὑψίστου λόγου.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Ἰακώβ, υἱοῦ Ἰσαάκ».

Διὰ κλίμακος Ἰακὼβ τῆς παρθένου
πρὸς γῆν Θ(εὸ)ν χωροῦντα πρὶν τόκου βλέπ(ει).

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Ῥουβίμ, υἱοῦ Ἰακώβ».

Τῆς υἱότητος Ἰακὼβ τοῦ τιμίου,
Ῥουβὶμ ἔγνων τὸν θεῖον[2] ἀρχὴν τιμίαν.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Συμεών, υἱοῦ Ἰακώβ».

Κἂν δευτερεύῃ Συμεὼν ἐκ τοῦ τόκου,
κλέος παρ' ἡμῖν οὐ τὸ δεύτερον φέρει.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Λευΐ, ἐξ οὗ ἡ λευϊτικὴ φωνή».

Χ(ριστο)ῦ μεγίστου θεῖος ὢν ὑπηρέτης,
τί Λευῒ μεῖζον τῆσδε τῆς δόξης θέλεις;

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Ἰούδα, οὗ ἐκ τῆς φυλῆς ὁ Χ(ριστό)ς».

Ἰούδαν αἰνέσουσιν[3] οἱ σεσωσμένοι,
ἐξ Ἰούδα γὰρ Χ(ριστὸ)ς ἡ σ(ωτη)ρία.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Ζαβουλ(ών), οὗ ἡ φυλὴ παράλιος».

Ἀκτὰς κατοικεῖν ὁ Ζαβουλὼν ἐκρίθη,
γῆς καὶ θαλάσσης εἰς ἓν ἄκρα συνδέων.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Ἰσάχαρ, οὗ ἡ φυλὴ γηπόνος».

Στήσας ἑαυτὸν εἰς τὸ πονεῖν Ἰσάχαρ,
ζωὴν συνιστᾷ γῆθεν ἄρτον ἐκφέρων.

---

1. ὑπάρχων cod.
2. τὸν θν, i.e. Θ(εὸ)ν cod.
3. ἀνέσαισαν cod.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Δάν, οὗ ἡ φυλὴ κριταί».

Λαοῦ κριτὴς Δάν, γλῶσσα τῆς ἐξουσίας,
ζυγοῖς δικαίοις πᾶσαν ἐξάγων κρίσιν.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχ(ου) Γάδ, οὗ ἡ φυλὴ ληστευομ(έν)η».

Γὰδ πειρατευθείς, πειρατεύσων ἐκτρέχει,
(φ. 151β) νίκαις[1] δὲ πάντ(ων) πειρατῶν κατισχύει.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχ(ου) Ἀσήρ, οὗ ἡ φυλὴ πλουσία ἐπὶ χώραις σιτοφόροις».

Ἀσὴρ δέ φησι πίονα πλουτεῖ<ν> στάχυν,
τρέφει δὲ τοὺς ἄρχοντας ἄρτῳ πλουσίῳ.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Νεφθαλείμ, οὗ ἡ φυλὴ πλῆθος πολύ».

Ὡς ἔρνος ὄντος Νεφθαλεὶμ ἀνειμένον,
εἰς πλῆθος αὐτῷ τῆς φυλ(ῆς) ἡπλωμένης.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχ(ου) Ἰωσήφ, οὗ ἡ φυλὴ περίδοξος».

Ηὐξημένον σε σὸς π(ατ)ὴρ υἱὸν λέγων,
δόξαν φυλῆς σῆς Ἰωσὴφ διαγράφει.

«Μνήμ(η) τοῦ π(ατ)ριάρχου Βενιαμ(ίν), οὗ ἡ φυλ(ὴ) ἀπὸ ἀγρί(ας)».

Φαγὼν τὸ πρωῒ Βενιαμὶν ὡς λύκος,
πρᾶος φανεὶς δίδωσι βρῶσιν ἑσπέρας.

«Μνήμ(η) Φαρὲς (καὶ) Ζάρα τ(ῶν) διδύμ(ων) υἱῶν Ἰούδα π(ατ)ριάρχ(ου)».

Κοινῶς ἐπαινῶ σπέρμα καιν(ὸν) Ἰούδα,
Φαρές, Ζάρα τε, τοὺς διδύμους συγγόνους.

«Μνήμ(η) Ἐσρώμ, υἱοῦ Φαρές».

Ἐκ Φαρὲς Ἐ<σ>ρὼμ ὥσπερ ἐκ ῥίζης κλάδος,
ἄμφω δὲ ῥίζης Ἀβραὰμ θεῖοι κλάδοι.

«Μνήμ(η) Ἀράμ, υἱοῦ Ἐσρώμ».

Γέγηθεν Ἐσρὼμ οὐ νοσῶν ἀτεκνίαν,
Ἀρὰμ γὰρ αὐτῷ τέκνον ἠγαπημένον.

«Μνήμ(η) Ἀμιναδάμ, υἱοῦ Ἀράμ».

Τὸν Ἀμιναδὰμ ἐξ Ἀρὰμ φῦναι λόγος,
τούτου γὰρ υἱὸν ἡ γραφὴ τοῦτον λέγει.

1. νικαῖς cod.

«Μνήμ(η) Νaασών, υἱοῦ Ἀμιναδάμ».

Εἷς καὶ Ναασὼν ἐξ Ἰούδα φατρίας,
ἐξ Ἀμιναδὰμ τοῦ φυλῆς ἐξ Ἰούδα.

«Μνήμ(η) Σαλμών, υἱοῦ Ναασών».

Ηὔξησε σειρὰν ἀβραμιαίου γένους,
Σαλμὼν προελθὼν τῆς Ναασὼν ὀσφύος.

«Μνήμ(η) Βοόζ, υἱοῦ Σαλμών».

Εὐαγγελιστά, τοῦ δὲ Σαλμὼν υἱέα
τίνα γράφεις σύ; τὸν Βοόζ, φησί, γράφω.

«Μνήμ(η) Ὠβήδ, υἱοῦ Βοὸζ (καὶ) τῆς Ῥούθ».

Ἐκ Ῥοὺθ μὲν Ὠβὴδ τὴν φυλὴν μωαβίτ(ης),
ἐκ τῆς Βοὸζ δὲ δῆλος ἰσραηλίτης.

«Μνήμ(η) Ἰεσσαί, υἱοῦ Ὠβήδ».

Ἰεσσαὶ τίκτε· τικτέτω καὶ σὸν γένος,
ἕως ἀπ' αὐτοῦ παῖς Θ(εὸ)ς τεχθῇ μέγας.

«Μνήμ(η) Δα(βὶ)δ βασιλέως, υἱοῦ Ἰεσσαί».

Ἐγὼ τί φήσω, μαρτυροῦντος Κ(υρίο)υ;
τὸν Δα(βὶ)δ εὗρον ὡς ἐμαυτοῦ καρδίαν.

«Μνήμ(η) Σολομῶντος, υἱοῦ βασιλέως Δα(βί)δ».

Σοφὸς Σολομῶν πρῶτος ἐν σοφοῖς Κ(υρίο)υ,
ἔχων τὸ πρῶτον τῶν καλῶν τῶν τοῦ βίου.

«Μνήμ(η) Ῥοβοάμ[1], υἱοῦ βασιλέως Σολομῶντος[2]».

Ἐγκώμιόν σοι Ῥοβοὰμ πλέκω μέγα,
σὸν πάππον εἶναι τὸν μέγαν Δα(βὶ)δ λέγων.

«Μνήμ(η) Ἀβιᾶ βασιλέως, υἱοῦ Ῥοβοάμ».

Βοᾷ Ῥοβοὰμ πρὸς τὸν Ἀβιᾶ λέγων,
ἐγὼ π(ατ)ὴρ σὸς καὶ σύ μου τὸ τεκνίον.

«Μνήμ(η) Ἀσᾶ βασιλέως, υἱοῦ Ἀβιᾶ».

Εὐθὺ τὸν Ἀσᾶ μηνύει βασιλέα
ἡ τετράτιτλος τ(ῶν) βασιλέων βίβλος.

«Μνήμ(η) Ἰωσαφὰτ βασιλέως, υἱοῦ Ἀσᾶ».

Ἰωσαφὰτ τὰ πάντ(α) χρηστὸς ἐν βίῳ,
εὑρὼν ἀφορμὰς πατρόθεν χρηστοῦ βίου.

---

1. Σολομῶντος cod.
2. Δα(βὶ)δ cod.

(φ. 152α) «Μνήμη Ἰωρὰμ[1] βασιλέως, υἱοῦ Ἰωσαφάτ»[2].

Ἰωρὰμ ἡμῖν ἐξ Ἰωσαφὰτ ἔφυ,
υἱὸς βασιλεὺς ἐκ π(ατ)ρ(ὸ)ς βασιλέως.

«Μνήμ(η) Ὀζίου βασιλέως, υἱοῦ Ἰωράμ[3]».

Ἀνῆκε καρπὸν εὐγενῆ τὸν Ὀζίαν,
ἄναξ Ἰωράμ, Ἰωσαφὰτ ὁ κλάδος.

«Μνήμ(η) Ἰωάθαμ βασιλέως, υἱοῦ Ὀζίου».

Τὸν Ἰωάθαμ, ὡς νεοττὸν Ὀζίου,
τῆς βασιλείας ἡ καλιὰ λαμβάνει.

«Μνήμ(η) Ἄχαζ βασιλέως, υἱοῦ Ἰωάθαμ».

Τὸ τῆς κεφαλῆς στέμμα τῆς Ἰωάθαμ,
στέφει κεφαλὴν εὐπρεπῶς κ(αὶ) τὴν Ἄχαζ.

«Μνήμ(η) Ἐζεκίου βασιλέως, υἱοῦ Ἄχαζ».

Σοβεῖ τελευτὴν δακρύσας Ἐζεκίας,
τοσοῦτον ἰσχύουσι ῥεῖθρα δακρύων.

«Μνήμ(η) Μανασσῆ βασιλέως, υἱοῦ Ἐζεκίου».

Σ(ωτη)ριῶδες πρὸς μετάγνωσιν βάθρον,
Μανασσῆς ἡμῖν τὴν προσευχὴν πηγνύει.

«Μνήμ(η) Ἀμμὼν βασιλέως, υἱοῦ Μανασσῆ».

Ἀμμὼν κυηθεὶς τῆς ἁλουργίδος μέσον,
ὢν καὶ βασιλεὺς καὶ βασιλείας τέκνον.

«Μνήμ(η) Ἰωσίου βασιλέως, υἱοῦ Ἀμμών».

Ἰωσίας ἔναντι τοῦ Θ(εο)ῦ μέγας,
ὃν γνοὺς ἐπαινεῖν, δειλιῶ μὴ σμικρύνω.

«Μνήμ(η) Ἰεχονίου βασιλέως, υἱοῦ Ἰωσίου».

Ἐν Βαβυλῶνος τῇ μετοικίᾳ λόγος,
Ἰεχονίαν ἐμπαροικῆσαι βίῳ.

«Μνήμ(η) Σαλαθιήλ, υἱοῦ Ἰεχονίου».

Πρῶτον μετ' αὐτὴν τὴν κατοικίαν τέκνον,
τὸν Σαλαθιὴλ Ἰούδα φυλὴ φύσει.

«Μνήμ(η) Ζοροβάβελ, υἱοῦ Σαλαθιήλ, τοῦ τῶν Ἱεροσολύμων ναὸν καυθέντα ἀνεγείραντος».

Ναβουζαρδὰν ἔκαυσεν οἶκον Κ(υρίο)υ,
οὗ καῦσιν ἦρε κτίσμασι Ζοροβάβελ.

1. Ἰωάθαμ cod.
2. Ὀζίου cod.
3. Ὀζίου cod.

«Μνήμ(η) Ἀβδιούδ, υἱοῦ Ζοροβάβελ».

Ἀβδιοὺδ ὄρπηξ οὗ φυὴ Ζοροβάβελ,
ὡς τὴν φυὴν οὖν (καὶ) τὸν ὄρπηκα γράφω.

«Μνήμ(η) Ἐλιακείμ, υἱοῦ Ἀβδιούδ».

Τὸν Ἐλιακεὶμ Ἀβδιοὺδ γράφει γόνον
Ματθαῖος ἡμῖν ἀκριβὴς γονογράφος.

«Μνήμ(η) Ἀζώρ, υἱοῦ Ἐλιακείμ».

Ὁ θεῖος Ἀζὼρ ἐξ Ἐλιακεὶμ ἔφυ,
θεία γραφὴ λέγουσα τοῦτο πεισάτω.

«Μνήμ(η) Σαδώκ, υἱοῦ Ἀζώρ».

Ἀζὼρ κυΐσκων τὸν Σαδὼκ οὐ λαμβάνει,
ὁ συγγραφεὺς γνοὺς ἐκκαλύπτει τ(ὸν) τόκον.

«Μνήμ(η) Ἀχείμ, υἱοῦ Σαδώκ».

Τοῖς τοῦ Σαδὼκ ζητοῦσιν υἱὸν Ματθαῖος
δείξει τὸν Ἀχεὶμ ἐκβαλὼν τὸ βιβλίον.

«Μνήμ(η) Ἐλιούδ, υἱοῦ Ἀχείμ».

Τεχθεὶς ἀπ' Ἀχεὶμ Ἐλιοὺδ ὤφθη τέκνον,
ὀφθήσεται δὲ καὶ π(ατ)ὴρ τεκνοτρόφος.

«Μνήμ(η) Ἐλεάζαρ, υἱοῦ Ἐλιούδ».

Ἰδοὺ τεκόντα καὶ τὸν Ἐλιοὺδ ἔγνων,
Ἐλεάζαρ τὸ τέκνον, εἰ βούλῃ, μάθε.

«Μνήμ(η) Ματθάν, υἱοῦ Ἐλεάζαρ».

Ἐλεάζαρ δὲ τὸν Ματθὰν γεννᾶν λέγει,
μαιευτρίας ἄκουε Ματθαίου βίβλου.

«Μνήμ(η) Ἰακώβ, υἱοῦ Ματθάν».

Καὶ Ματθὰν εἰσήνεγκεν υἱὸν εἰς βίον,
(φ. 152β) τὸν Ἰακὼβ γὰρ εἰσενεγκὼν εὑρέθη.

«Μνήμ(η) Ἰωσὴφ τοῦ μνηστῆρος, υἱοῦ Ἰακώβ».

Μνηστὴρ Ἰωσήφ, ᾧ[1] τὸ πν(εῦμ)α πρὸ[2] γάμου
μνηστὴν ἐκείνου συλλαβοῦσαν δεικνύει.

1. ὃν cod.
2. πρὸς cod.

«Μνήμ(η) τοῦ δικαίου Μελχισεδέκ».

Ἔχει γραφὴ π(ατ)ρ(ό)ς σε καὶ μ(ητ)ρ(ὸ)ς δίχα,
Χ(ριστο)ῦ τυποῦντα Μελχισεδὲκ τοὺς τύπους.

«Μνήμη τοῦ δικαίου Ἰώβ».

Ὕψιστον εὑρὼν ἀξίως ἐπαινέτην,
Ἰὼβ ἐπαίνων οὐ δέει μοι γηΐνων.

«Μνήμ(η) τοῦ προφήτ(ου) Μωσέ(ως) κ(αὶ) Ὢρ (καὶ) Ἀαρ(ὼν) τ(ῶν) ἱερέ(ων)».

Σὺν Ὢρ Ἀαρὼν προγράφει Χ(ριστο)ῦ πάθος,
ὑψοῦντες ἄμφω στ(αυ)ρικῶς τὸν Μωσέα.

«Μνήμ(η) τοῦ δικαίου Ἰησοῦ, υἱοῦ τοῦ Ναβῆ».

Ὑμνεῖν Ἰ(ησοῦ)ν ποῖος ἀρκέσει λόγος,
ὃς συλλαλῶν ὑπῆρχε καὶ Θ(εὸ)ς λόγος.

«Μνήμ(η) τοῦ προφήτου Σαμουήλ».

Ὀφθαλμὸν ἡμῖν εὐμενῆ Θ(εο)ῦ τίθει,
ὀφθαλμὲ θεῖε καὶ τὰ μέλλοντα βλέπ(ων).

«Μνήμη τοῦ προφήτου Νάθαν».

Ἁμαρτιῶν ἔλεγχος ὀξὺς ὢν Νάθαν,
ἡμάρτομεν λέγουσι συγγνώμην νέμει.

«Μνήμ(η) Δανιὴλ τοῦ προφήτου».

Καὶ θηρία φρίττουσιν ἀρετῆς φίλον,
ἔργοις Δανιὴλ τοῦτο πιστοῦται μέγας.

«Μνήμ(η) τῶν ἁγίων τριῶν παίδων».

Καὶ πῦρ τὸ πῦρ ἦν τῆς καμίνου κ(αὶ) δρόσος,
πρὸς δυσσεβεῖς πῦρ, πρὸς δὲ τοὺς παῖδ(ας) δρόσος.

[Μνήμη τῆς δικαίας Σάρρας[1].]

Νεύσει Θ(εο)ῦ κ(αὶ) στεῖρα νικᾶται φύσις,
καὶ μάρτυς ὠδίνουσα Σάρρα παιδίον.

[Μνήμη τῆς δικαίας Ῥεβέκας[1].]

Καὶ τὴν ἀρίστην τῶν γυναικῶν Ῥεβέκαν
ἄριστος ἀνδρῶν εὗρε κοινωνὸν λέχους.

[Μνήμη τῆς δικαίας Λείας[1].]

Λείας προσώπῳ Κ(ύριο)ς μὴ δοὺς χάριν,
κυήσεως δίδωσι τῇ μήτρᾳ χάριν.

1. Ὁ ἄλλοτε ἐρυθρόγραφος οὗτος τίτλος εἶναι παντελῶς ἐξίτηλος καὶ δὲν ἀναγινώσκεται σήμερον.

[Μνήμη τῆς δικαίας Ῥαχήλ[1].]

Θεοὺς π(ατ)ρῴους ἡ Ῥαχὴλ κλέπτει πόθῳ,
ἐν ἐσχάτῳ δὲ τὸν Θ(εὸ)ν ποθεῖ λόγον.

«Μνήμ(η) τῆς δικαίας Ἀσενέθ, γυναικὸς Ἰωσὴφ τοῦ παγκάλου».

Κάλλει παρῆλθεν ἥλιος μὲν ἀστέρας,
ἡ δ' Ἀσενέθ μοι τὰς ὑφ' ἡλίου κόρας.

[Μνήμη τῆς δικαίας Μαρίας[1].]

Ἄσωμεν εἰπὲ καὶ πάλιν τῷ Κ(υρί)ῳ,
ψυχῆς κρατοῦσα τύμπανον νῦν Μαρία.

[Μνήμη τῆς δικαίας Δεβώρας[1].]

Ὑπὲρ γυναῖκας ἡ Δεβώρα τὴν φρένα,
βάθει φρενὸς κρίνουσα λαὸν Κυρίου.

[Μνήμη τῆς δικαίας Ῥούθ[1].]

Ἔθνος λιποῦσα Ῥοὺθ ἑαυτῆς καὶ σέβας,
ἔθνει προσῆλθε καὶ Θ(ε)ῷ τοῦ Μωσέως.

[Μνήμη τῆς δικαίας Σαραφθίας[1].]

Ἄσπαρτον εἶχε τὴν τροφὴν Σαραφθία,
καινὸν λαχοῦσα λήϊον τὸν Ἠλίαν.

«Μνήμ(η) τῆς δικαίας Σουμανίτιδος τῆς νηδύι κυησάσης τ(ὸν) προφήτ(ην) Ἐλισσαῖον».

Ἐλισσαῖός σοι κλεῖθρα νηδύος λύει,
ᾧ κλεῖθρα, Σουμανῖτις[2], ἤνοιξας δόμου.

(φ. 153α) «Μνήμ(η) τῆς δικαίας Ἰουδὴθ τῆς ἀνελούσης τὸν Ὀλοφέρνην».

Ὃν πᾶς ἀνὴρ ἔφριττε δεινὸν ὁπλίτην,
γυνὴ καθεῖλεν Ἰουδὴθ Ὀλοφέρνην.

«Μνήμ(η) τῆς δικαίας Ἐσθὴρ τῆς λυτρωσαμένης τὸν Ἰ(σρα)ὴλ ἐκ θανάτου».

Ἔσωσεν Ἐσθὴρ ἄνδρας Ἰσραηλίτας,
ᾄδου κυνῆν μέλλοντας ἐκδῦναι πάλαι.

«Μνήμ(η) τῆς δικαίας Ἄνν(ης) τῆς μ(ητ)ρ(ὸ)ς Σαμουήλ».

Εὐχῆς τέκνον τεκοῦσα Σαμουὴλ μέγ(αν),
νικᾷ Φενάνναν Ἄννα πολλ(ὴν) ἐν τέκνοις.

1. Ὁ ἄλλοτε ἐρυθρόγραφος οὗτος τίτλος εἶναι παντελῶς ἐξίτηλος καὶ δὲν ἀναγινώσκεται σήμερον.
2. Νουμανίτης cod.

[Μνήμη τῆς δικαίας Σωσάννης[1].]

Κανὼν πρόκειται σωφρονοῦσα ἐν βίῳ,
ὁ τῆς Σωσάννης σωφρονέστατος κλάδος.

ιζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιζ'. Μνήμ(η) τῶν ἁγί(ων) τριῶν παίδων· καὶ Δανιὴλ τοῦ προφήτου».

Ὕπαρ Θεὲ βλέπει σε νῦν ἐπὶ θρόνου,
τμηθεὶς Δανιήλ, οὐκ ὄναρ καθὼς πάλαι.

Εἰ μὴ θανεῖν τρεῖς παῖδες ἥρων ἐκτόπως,
ὡς τοῦ πυρὸς πρὶν ἦρχον ἂν κ(αὶ) τοῦ ξίφους.

Ἑβδομάτ(ῃ) δεκάτ(ῃ) Δανιὴλ τάμον ὃς βλέπε μέλλον.

Ἀκολουθεῖ συναξάριον τοῦ προφήτου καὶ τῶν τριῶν παίδων.

Ἀρχ.: Οὗτος ὁ μακάριος Δανιὴλ ὁ προφήτης ἦν ἐκ φυλῆς Ἰούδα· γένους τῶν ἐχόντ(ων) τῆς βασιλικῆς ὑπηρεσίας [. . .]
(φ. 153β) Τελ.: [. . .] ἐξ Ἰούδα φυλῆς· ἐξ ἧς (καὶ) ὁ σ(ωτ)ὴρ πάντ(ων) Χ(ριστὸ)ς πρὸς γένος κατάγεσθαι.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμη τῶν ἁγίων μ(αρτύ)ρ(ων)· Πατερμουθίου· Κόπρη· (καὶ) Ἀλεξάνδρου, μαρτυρησάντων ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου (καὶ) μνήμ(η) τοῦ ὁσίου καὶ ἀειμνήστου ὁμολογητοῦ Δοναλὲ τοῦ μετονομασθέντος Στεφάνου».

Στολαῖς Στέφανος ἀρετῶν ἐστεμμένος,
(φ. 154α) λαμπρός τις[2] ἥκει πρὸς στεφάνους τοὺς ἄνω.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὃς ἦρξε τῆς ἑαυτοῦ χώρας νήσου τινός· ἣ παρὰ μέν τισι Νιβερτὶς λέγεται, παρ' ἄλάλλοις δὲ Βερόη· πλησίον οὖσα Γαδείρων [. . .]
Τελ.: [. . .] δι' ἧς καὶ τὸν τῇδε βίον ἀπέλιπε· προμηνυθείσης αὐτῷ θεόθεν τῆς τελειώσε(ως).

ιη' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιη'. Μνήμ(η) τοῦ ἁγίου μ(άρτυ)ρος Σεβαστιανοῦ· (καὶ) τῶν σὺν αὐτ(ῷ)· Ζωῆς· Τραγκυλίνου· Νικοστράτου· Κλαυδίου· Κάστορος· Τιβουρτίου· Καστούλου· Μαρκελλίνου· (καὶ) Μάρκου».

Σεβαστιανὸς τῶν πλάνης σεβασμάτ(ων)
καταφρονήσας, τύπτεται τὸ σαρκίον.
Ὀγδοάτ(ῃ) δεκάτ(ῃ) Σεβαστιανὸς ῥοπαλίσθη.

Ζωὴ πρὸς ὕψος εἰς κεφαλὴν ἠρμένη,
καπνῷ δυσώδει λαμβάνει ζωῆς τέλος.

1. Ὁ ἄλλοτε ἐρυθρόγραφος οὗτος τίτλος εἶναι παντελῶς ἐξίτηλος καὶ δὲν ἀναγινώσκεται σήμερον.
2. λαμπρότης cod.

Καὶ βάλλετε σφοδρῶς με συχν(ῶς) ἐν λίθοις,
ἐκ καρδίας ἔκραζεν ὁ Τραγκυλῖνος.

Καὶ τοὺς περὶ Κλαύδιον ὧδε τακτέον,
οὕς, κἂν βυθὸς συνέσχεν, οὐ(ρα)νὸς φέρει.

Τιβουρτίου τέμνουσι τὴν θείαν κάραν,
σύ μου Θ(εὸ)ς κράζοντος, ὦ Θ(εο)ῦ λόγε.

(φ. 154β) Κάστουλον εἷλκον εἰς ἀπωλείας βόθρον,
ὡς δ' οὐχ ὑπῆρξε, γῆς ἐνεβλήθη βόθρῳ.

Ἐχθρ(ῶν) παγέντες οἷα λόγχαι καρδίαις,
νύττεσθε[1] λόγχαις Μᾶρκε κ(αὶ) Μαρκελλῖνε.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τούτων ὁ μὲν Σεβαστιανός, εἷς τ(ῆς) συγκλήτου ὑπῆρχεν βουλῆς· ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ (καὶ) Μαξιμιανοῦ [. . .]
Τελ.: [. . .] (καὶ) εἰς μέρη κατατμηθείς, τῷ Θ(ε)ῷ τὸ πν(εῦμ)α παρατίθεται.

«Μνήμ(η) τοῦ ἁγίου μάρτυρος Εὐβιώτου».

Ἤθλησεν Εὐβίωτος ἄχρις αἱμάτων,
βίου δὲ τέρμα εὗρε χωρὶς αἱμάτων.

«Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Φλώρου, ἐπισκόπου Ἀμινσοῦ».

Εἴκων ὁ Φλῶρος τῇ πάλαι κατακρίσει,
εἰς γῆν ἀπῆλθε· γῆ γὰρ ἦν, καὶ τί ξένον;

«Ὁ ἅγιος Φωκᾶς καὶ Ἑρμύλος ξίφει τε(λειοῦνται)».

Ἔγωγε τμηθῶ πρῶτος, Ἑρμύλος λέγει,
οὔ φησι Φωκᾶς· ἀλλ' ὁ Φωκᾶς Ἑρμύλε.

(φ. 155α) «Μνήμ(η) τῶν ἁγίων μ(αρτύ)ρ(ων)· Ζακχαίου διακόνου· καὶ Ἀλφειοῦ ἀναγνώστου, ἐν Καισαρείᾳ ἀθλησάντων· καὶ μνήμη τῆς ἁγίας (καὶ) θαυματουργοῦ Σοφίας· (καὶ) τὰ ἐγκαίνια τοῦ σεβασμίου οἴκου τῆς [. . .] Θ(εοτό)κου ἐν τοῖς Χαλκοπρατείοις· (καὶ) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν [Μιχαὴλ τοῦ] Συγγέλου τοῦ ὁμολογητοῦ».

Οὐκ εἰ τελευτᾷς Μιχαὴλ τοῦτο ξένον,
ἀλλ' εἰ θανὼν ζῇς, ὥσπερ οὖν ζῇς ἀξίως.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐκ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ· εὐσεβῶν γονέων χρηματίσας υἱός· παιδευθεὶς οὖν ἄκρως τὴν τῶν Ἑλλήνων σοφίαν [. . .]
(φ. 155β) Τελ.: [. . .] κατὰ τὴν ὀκτωκαιδεκάτην τοῦ δεκε<μ>βρίου μηνός, ἐν εἰρήνῃ πρὸς Θ(εὸ)ν μεθίσταται.

1. νύττεσθαι cod.

«Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μοδέστου ἀρχιεπισκόπ(ου) Ἱεροσολύμων».

Ἀκολουθεῖ (φφ. 155β - 156β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἐξ ὀρθοδόξων μὲν ἔφυ γονέων· ἐκ πόλεως Σεβαστείας [. . .]
(φ. 156β) Τελ.: [. . .] ὡς εἶναι τὸν ἅπαντα τῆς ζωῆς αὐτοῦ χρόνον ἐνιαυτοὺς ἐνενήκοντα ἑπτά, πρὸς τὰς αἰωνίους μονὰς ἐξεδήμησ(εν).

ιθ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιθ'. Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Βονιφατίου».

Ζητῶν Βονιφάτιος ὀστᾶ μαρτύρων,
ἑαυτὸν εὗρε μάρτυρα τμηθεὶς ξίφει.
Ἐννέα καὶ δεκάτ(η) Βονιφάτιος αὐχένα τμήθη.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· δοῦλος γυναικός τινος συγκλητικῆς, τοὔνομα Ἀγλαΐδος [. . .]
Τελ.: [. . .] τὸ τούτου λείψανον ἀπεκόμισαν τῇ κυρίᾳ αὐτῶν· ἡ δὲ μετὰ χαρᾶς δεξαμένη [. . .] (καὶ) πολιτευσαμένη καλῶς, ἐν εἰρήνῃ τὸ πν(εῦμ)α τῷ Κ(υρί)ῳ παρέθετο.

«Οἱ ἅγιοι Ἠλίας· Πρόμος· Ἄρης· ξίφει τε(λειοῦνται)».

Ἀθλήσεως τμηθέντα τῷ ξίφει κάραν,
ζηλοῖ ταχὺ Πρόμος σε μάρτυς Ἠλία.

Ἄρης ὑπῆρξας πρὸς τὸ πῦρ ὄντως Ἄρες,
Ἄρης νοητῶς ὅπλα πίστεως φέρων.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων) Τιμοθέου (καὶ) Πολυεύκτου».

Τιμόθεον δὲ τὸν πεπυρπολημένον
ποῦ θήσομαι, λαχόντα πάντιμον τέλος;

Σοῦ Πολύευκτε Καισαρεῦ, ποῖον τέλος;
τὸ πῦρ ὑπελθ(ὼν) εὗρον εὐκταῖον τέλος.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τούτων ὁ μὲν ἅγιος Τιμόθεος κατασχεθεὶς καὶ ὁμολογήσας τὸν Χ(ριστὸ)ν [. . .]
(φ. 157α) Τελ.: [. . .] καὶ αὐτὸς ἐν Καισαρείᾳ εἰς πῦρ βληθείς, τὸ τέλος ἐδέξατο.

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων)· Εὐτυχίου· (καὶ) Θεσσαλονίκης· (καὶ) τῶν σὺν αὐτοῖς διακοσίων ἀνδρῶν· (καὶ) γυναικῶν ἑβδομήκοντα».

Στερρῶς σὺν Εὐτυχίῳ Θεσσαλονίκη
νίκην ἐφεῦρον εὐτυχῶς ἐκ τοῦ ξίφους.

Ἀνεῖλεν ἀνδρῶν εἰκάδας δέκα ξίφος,
ἀνεῖλε καὶ γυναῖκας ἑπτάκις δέκα

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Γρηγεντίου».

Σαρκὸς λιπὼν σύνδεσμα ὁ Γρηγεντῖνος[1],
ἐκεῖ μετῆρεν ἔνθα σαρξὶν οὐ τόπος.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὃς ὥρμητο ἐκ πόλεως Μεδιολάνων· γεννήτορες δὲ αὐτῷ Ἀγάπιος (καὶ) Θεοδότη [. . .]
(φ. 157β) Τελ.: [. . .] ἐν εἰρήνῃ ἐτελειώθη, πρὸς βαθύτατον γῆρ(ας) καταντήσας.

κ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κ'. Μνήμ(η) τοῦ ἁγίου ἱερομ(άρτυ)ρος Ἰγνατίου τοῦ θεοφόρου».

Λέουσιν Ἰγνάτιε δεῖπνον προὐτέθης,
κοινωνὲ δείπνου μυστικοῦ, θάρσους λέων.
Εἰκάδι Ἰγνάτιος θάνε γαμφηλῇσι λέοντος.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν διάδοχος τῶν ἀποστόλ(ων), τῆς Ἀντιοχέων ἐκκλησίας δεύτερος [. . .]
Τελ.: [. . .] ἐν τῷ ὀνόματί μου ἐμὲ δέχεται· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τῶν ἁγίων μ(αρτύ)ρ(ων) Εὐγενίου καὶ Μακαρίου».

Πρὸ τοῦ θανεῖν ἀντλοῦσι δεινὰ μυρία,
Εὐγένιός τε καὶ Μακάριος ἅμα.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

(φ. 158α) Ἀρχ.: Οὗτοι συσχεθέντες Ἰουλιανῷ τῷ ἀποστάτῃ (καὶ) ἐλέγξαντες αὐτοῦ τὴν δυσσέβειαν [. . .]
Τελ.: [. . .] (καὶ) τὸν ἐν τῷ ὄρει λυμαινόμενον δράκοντα τοὺς προσοικοῦντας ἀποκτείναντες, ἐν εἰρήνῃ τῷ Θ(ε)ῷ ἡμῶν παρέθεντο τὰς ψυχάς.

«Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Φιλογόνου· γενομ(έν)ου ἀπὸ δικολόγου ἐπισκόπ(ου) Ἀντιοχείας».

Φιλογόνιος ἐντολεὺς λείπει βίον,
δραμὼν ἀρίστην ἐντολῶν Θ(εο)ῦ τρίβον.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος τῇ μαθήσει τῶν θείων γραφῶν ἐκδοθείς, ἀνάθημα τῷ Κ(υρί)ῳ ἐγένετο [. . .]
Τελ.: [. . .] (καὶ) διαπρέψας τῇ ἀρχιερωσύνῃ, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

κα' «Μη(νὶ) τῷ αὐτ(ῷ) κα'. Μνήμ(η) τ(ῆς) ἁγί(ας) μ(άρτυ)ρος Ἰουλιανῆς».

Ἰουλιανῆς ἀγλάισμα τὸ ξίφος,
ὡς προξενῆσαν ἀγλαὸν ταύτῃ στέφος.

---

1. pro Γρηγέντιος, metri gratia.

Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· πλουσίων γεννητόρων παῖς ὑπάρχουσα· (καὶ) μνηστεύεται παρ' αὐτ(ῶν) [. . .]
(φ. 158β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρίῳ αὐτῆς· πλησίον τῆς ἁγί(ας) Εὐφημίας ἐν τῷ Πετρίῳ.

«Οἱ ἅγιοι φ' μάρτ(υ)ρ(ες) οἱ ἐν Νικομηδ(είᾳ) ξίφει τε(λειοῦνται)».

Πεντακοσίους εἶδεν ἐκτετμημένους,
ἡ Νικομήδους μάρτυρας νικηφόρους.

«Αἱ ἅγιαι ρλ' γυναῖκες ἐν Νικομηδ(είᾳ) ξίφει τε(λειοῦνται)».

Σὺν πενταπλῇ προὔτεινεν εἰκάδ(ι) ξίφει
τριπλῇ γυναικῶν μαρτύρων δεκὰς κάρ(ας).

«Μνήμ(η) τοῦ ἁγίου μ(άρτυ)ρος Θεμιστοκλέους».

Τὰς ἐκ σιδηρῶν ὀξέων ἥλων ξέσεις
ὥς τι<ς> σιδηροῦς καρτερεῖς Θεμιστόκλε<ι>ς.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Δεκίου· ἐκ Μύρων τῆς Λυκίας· ποιμὴν προβάτων ὑπάρχων [. . .]
Τελ.: [. . .] ὑφ' ὧν ὅλον τὸ σῶμα περονούμενος, τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρέθετο.

κβ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κβ'. Μνήμ(η) τῆς ἁγί(ας) μεγαλομ(άρτυ)ρος Ἀναστασίας».

Ἀναστασία φάρμακον πιστοῖς μέγα,
πᾶν φάρμακον λύουσα καὶ κεκαυμένη.
Καύθη Ἀναστασίη πυρὶ εἰκάδ(ι) δευτερίῃ λαύρῳ.

Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἡ ἁγία Ἀναστασία ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει [. . .]
(φ. 159α) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρίῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς Δομνίνου Ἐμβόλ(οις).

«Μνήμ(η) τοῦ ἁγ(ίου) μάρτυρος Χρυσογόνου».

Δίδωσι Χρυσόγονος αὐχένα ξίφει,
ὁ πν(εῦμ)α χρυσοῦς, χάλκεος δὲ τὸ σθένος.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Χρυσόγονος ὁ μάρτυς ὑπῆρχεν ἐκ τ(ῆς) μεγαλοπόλεως Ῥώμης, ἐπὶ Διοκλητιανοῦ βασιλέως [. . .]
(φ. 159β) Τελ.: [. . .] (καὶ) ἀχθέντα ἀπογυμνωθῆναι αὐτ(ὸν) (καὶ) ξίφει τελειωθῆναι.

«Μνήμ(η) τῆς ἁγίας μ(άρτυ)ρος Θεοδότ(ης) (καὶ) τ(ῶν) τέκν(ων) αὐτ(ῆς)».

Ἡ Θεοδότη πῦρ φέρει σὺν φιλτάτοις,
φίλτρῳ Θ(εο)ῦ ζέουσα καὶ πυρὸς πλέον.

Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Θεοδότη ἡ μάρτυς ὑπῆρχεν ἀπὸ τῆς χώρας Βιθυνίας· ἀκούσασα δὲ περὶ τῆς ἁγίας Ἀναστασίας [. . .]
Τελ.: [. . .] στεφανηφόροι τῷ δεσπότῃ Θ(ε)ῷ παρέστησαν· ἀπολαύοντες τῆς ἀιδίου μακαριότητος.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) τὰ ἀνοίξια τῆς τοῦ Θ(εο)ῦ ἐκκλη(σίας)».

Αἴρουσιν ἄνδρες ἱεροὶ Χ(ριστ)ῷ πύλας,
τοὺς Δα(βὶ)δ ἡμῖν ἐκτυπούμενοι νόας.

«Τὸ φωτοδρόμιον τ(ῆς) τοῦ Θ(εο)ῦ ἁγί(ας) ἐκκλη(σίας)».

Τρέχοντα φῶτα σήμερον ναοῦ κύκλῳ,
δηλοῦσι φωτὸς εἰς τὸ πᾶν θείου δρόμου.

κγ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κγ'. Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων) τ(ῶν) ἐν Κρήτ(ῃ)».

Τοῦ ποιμενάρχου θρέμματα Χ(ριστο)ῦ δέκα
εἰσηλάθη τμηθέντα μάνδρᾳ μαρτύρων.
Εἰκάδι τῇ τριτάτ(ῃ) δέκα ἐν Κρήτ(ῃ) τάμον ἄνδρ(ας).

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου βασιλέως ἐν τῇ νήσῳ τῆς Κρήτης· οὐκ ἐκ μιᾶς πόλεως, ἀλλ' ἐκ διαφόρων τῆς χώρας μερῶν [. . .]
(φ. 160α) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτ(ῶν) σύναξις ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Στεφάνου πλησίον τῶν Πλακιδίων.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Παύλου ἀρχιεπισκόπου Νεοκαισαρείας· ἑνὸς τῶν τιη' ἁγίων π(ατέ)ρων.
Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Παῦλος περιβόητος ταῖς ἀρεταῖς γέγονεν [. . .]
(φ. 160β) Τελ.: [. . .] εἶθ' οὕτως τὸν θρόνον αὐτοῦ καταλαβών, καὶ χρόνους τινὰς ἐκεῖσε διαρκέσας, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) τὰ ἐγκαίνια τ(ῆς) τοῦ Θ(εο)ῦ ἁγί(ας) ἐκκλη(σίας)».

Ἐγκαινίοις καλοῖς σε τοῖς ἐγκωμίοις,
τιμῶν καλῶν κάλλιστε γῆς ναῶν ὅλων.

κδ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κδ'. Μνήμ(η) τ(ῆς) ὁσίας Εὐγενίας».

Στυφθεῖσα πρῶτον τοῖς πόνοις Εὐγενία,
βαφὴν ἐβάψω δευσοποιὸν ἐκ ξίφους.
Τέτλαθι Εὐγενία ξίφος εἰκάδι τετάρτῃ.

Ἀκολουθεῖ (φφ. 160β - 161β) ἔμμετρον συναξάριον τῆς ὁσίας, ἀποτελούμενον ἐξ ἐνενήκοντα ἐννέα (99) ἰαμβικῶν δωδεκασυλλάβων στίχων[1].

1. Ἔχει ἐκδοθῆ ὑπὸ Μητροπ. πρ. Λεοντοπόλεως Σωφρονίου Εὐστρατιάδου, *Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας*, [Ἀθῆναι 1961], σ. 140.

Ἀρχ.: Ἐξ εὐγενείας εὐσεβὴς ὅστις κλάδος,
προῆλθεν Εὐγενία δόξα τοῦ γένους.
Ῥώμης μὲν αὕτη τῆς παλαιᾶς ἐξέφυ.
. . . .

(φ. 161β) Τελ.: . . . .
τὴν κάραν ἐκτμηθεῖσα τ(ῶν) ἄθλων τέλος,
χαίρουσ' ἀπέπτη πρὸς ποθειν(ὸν) νυμφίον.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ἡ ἁγία Βασίλλα, ἡ συμμαρτυρήσασα τῇ ἁγ(ίᾳ), ξί(φει) τε(λειοῦται)».

Τίς ἂν παραδράμῃ σε τμηθεῖσα<ν> ξίφει,
μάρτυς Βασίλλα, πίστε(ως) θείας βάσις.

«Ὁ ἅγ(ιος) Φίλιππος ὁ π(ατ)ὴρ τ(ῆς) ἁγίας ξί(φει) τε(λειοῦται)».

Μάχαιραν ὄντως δίστομον κατὰ πλάν(ης),
κτείνει Φίλιππον τῆς μαχαίρ(ας) τὸ στόμα.

«Οἱ ἅγιοι Πρωτᾶς κ(αὶ) Ὑάκινθος, οἱ εὐνοῦχοι καὶ συνασκηταὶ τ(ῆς) ἁγίας, ξί(φει) τε(λειοῦνται)».

Τμηθέντες Ὑάκινθε κ(αὶ) Πρωτᾶ ξίφει,
κληροῦσθε πρῶτα μαρτύρ(ων) Θ(εο)ῦ γέρα.

«Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Νικολάου· μοναχοῦ τοῦ ἀπὸ στρατιωτῶν διήγησις» (BHG 2311).

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Νικόλαος στρατιώτης γέγονε· καὶ Νικηφόρου τοῦ βασιλέως ἐκστρατεύσαντος κατὰ τῶν Βουλγάρων [. . .]
(φ. 162β) Τελ.: [. . .] (καὶ) τῷ Θ(ε)ῷ γνησίως δουλεύσας ἐπὶ ἱκανοὺς χρόνους, γέγονε διορατικώτατος (καὶ) μέγας π(ατ)ήρ.

«Τῇ αὐτῇ ἡμέρ(ᾳ) ὁ ἅγιος Ἀχαϊκὸς ξίφει τε(λειοῦται)».

Πᾶν Ἀχαϊκὸς ἐκβαλ(ὼν) ψυχῆς ἄχος,
ὅλῃ χαρᾷ δέδωκε τὴν κάραν ξίφει.

«Ὁ ὅσιος Ἀντίοχος ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ἀντιόχῳ βδέλυγμα τύρβαι τοῦ βίου,
ᾗ καὶ βίος πᾶς ὃν παρῆλθεν ἡδέως.

κε' «Μη(νὶ) τῷ αὐτ(ῷ) κε'. Μνήμ(η) τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κ(υρίο)υ καὶ Θ(εο)ῦ καὶ σ(ωτῆ)ρ(ο)ς ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ».

Θ(εὸ)ς τὸ τεχθέν· ἡ δὲ μ(ήτ)ηρ παρθένος·
τί μεῖζον ἄλλο καινὸν εἶδεν ἡ κτίσις;
Παρθενικὴ Μαρίη εἰκάδι γείνατο πέμπτῃ.

Ἀκολουθεῖ συναξάριον.

Ἀρχ.: Ἰδὼν ὁ φιλάν(θρωπ)ος Θ(εὸ)ς τὸ γένος τῶν ἀν(θρώπ)ων ὑπὸ τοῦ διαβόλου τυραννούμενον [. . .]
(φ. 163α) Τελ.: [. . .] (καὶ) ἔθηκεν ἐν τῇ τῶν ἀλόγων φάτνῃ, ὡς μέλλοντα ῥύσασθαι ἡμ(ᾶς) τῆς ἀλογίας.

«Ἡ προ(σ)κύ(νησις) τῶν μάγων».

Σὲ προσκυνοῦσα τάξις ἐθνικὴ λόγε,
τὸ πρὸς σὲ δηλοῖ τῶν ἐθνῶν μέλλον σέβ(ας).

Ἀκολουθεῖ συναξάριον.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετό τις μάντις λεγόμενος Βαλαὰμ ἐν τῇ τῶν Περσῶν χώρᾳ [. . .]
Τελ.: [. . .] καὶ παραλαβὼν τὸ παιδίον κ(αὶ) τὴν μ(ητέ)ρα αὐτοῦ ἀπῆλθεν εἰς Αἴγυπτον.

κς´ «Μη(νὶ) τῷ αὐτ(ῷ) κς´. Ἡ σύναξις τῆς ὑπεραγίας Θ(εοτό)κου· ἤτοι τὰ ἐπιλόχια».

(φ. 163β) Λεχῶν ἄμωμον ἀνδρὸς οὐ γνοῦσα<ν> λέχος,
δώροις ἀμώμοις δεξιοῦμαι, τ(οῖς) λόγοις.

«Περὶ τῆς φυγ(ῆς) τ(ῆς) ὑπ(ερα)γ(ίας) Θ(εοτό)κου».

Ἥκοντ(α) πρὸς σὲ τ(ὸν) πάλαι πλήξαντά σε,
Αἴγυπτε φρίττε καὶ Θ(εὸ)ν τοῦτον φρόνει.

Ἀκολουθεῖ συναξάριον.

Ἀρχ.: Εἰς Αἴγυπτον δὲ φεύγει ἡ Θ(εοτό)κος μετὰ τοῦ βρέφους καὶ τοῦ Ἰωσὴφ [. . .]
Τελ.: [. . .] καὶ τὸν καιρὸν τῆς σ(ωτη)ρίας στ(αυ)ρώσεως καὶ ἀναστάσεως.

«Μνήμ(η) τῆς ἐν τῇ ἁγίᾳ σορῷ ἀποθέσεως τ(ῆς) τιμίας ἐσθῆτος τῆς ὑπ(ερα)γ(ίας) δεσποίνης ἡμ(ῶν) Θ(εοτό)κου ἐν Βλαχέρναις· (καὶ) μνήμ(η) τοῦ ἐν ἁγί(οις) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Εὐθυμίου, ἐπισκόπου Σάρδεων τοῦ ὁμολογητοῦ».

Θ(ε)ῷ παραστὰς Εὐθύμιε τρισμάκαρ,
πλήρης ἀλήκτου τυγχάνεις εὐθυμίας.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης· πρότερον μὲν οὖν ἐν τῇ μοναδικῇ πολιτείᾳ δίκην ἀστέρος ἔλαμψεν [. . .]
(φ. 164α) Τελ.: [. . .] μετὰ τὴν ἄθλησ(ιν) ἐκαρτέρησε· καὶ εὐθὺς παρέδωκε τὴν ψυχὴν τῷ Κ(υρί)ῳ ἡμῶν.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Κωνσταντίνου τοῦ ἐξ Ἰουδαίου τοῦ ἐν τοῖς Πολιλᾶ».

Ὡς ἐξ ἀκανθῶν τῶν Ἰουδαίων ῥόδον,
ὁ θεῖος ἀνθεῖ καὶ θανὼν Κωνσταντῖνος.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὦ π(ατ)ρὶς μὲν Σύναδα πόλις· γένος δὲ Ἰουδαίων· νήπιος δὲ ὢν κομιδῇ (καὶ) τῇ μ(ητ)ρὶ ποτὲ συνεπόμενος [. . .]
(φ. 164β) Τελ.: [. . .] τούτ(ων) ἤδη τελειωθέντων, πρὸς Θ(εὸ)ν μεθίσταται· σαφέστατα προδηλώσας πάντα τὰ περὶ αὐτοῦ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Εὐαρέστου».

Ἔσπευδεν Εὐάρεστος, ἔργῳ καὶ λόγῳ,
ἕως τελευτῆς εὐαρεστεῖν σοι λόγε.

«Τὴν Κυριακ(ὴν) μετὰ τὴν Χ(ριστο)ῦ γέννησιν μνήμη τ(ῶν) ἁγ(ίων) καὶ δικαί(ων)· Ἰωσὴφ τοῦ μνήστορος τῆς παρθ(έ)νου [. . .] Μαρί(ας)· καὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κ(υρίο)υ· καὶ Δα(βὶ)δ τοῦ προφήτου καὶ βασιλέως».

Σὺ τέκτονος παῖς, ἀλλ' ἀδελφὸς Κ(υρίο)υ,
τοῦ πάντα τεκτήναντος ἐν λόγῳ μάκαρ.

Ἀκολουθεῖ συναξάριον τοῦ προφήτου Δαβίδ.

Ἀρχ.: Δα(βὶ)δ ὁ προφήτης καὶ βασιλεὺς ἦν υἱὸς Ἰεσσαί· τοῦτον ἐδίδαξε Νάθαν ὁ προφήτης τὸν νόμον Κ(υρίο)υ [. . .]
(φ. 165α) Τελ.: [. . .] γίνεται δὲ ἡ σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ (καὶ) ἐν τῷ ἀποστο||λείῳ τοῦ ἁγ(ίου) ἀποστόλου τοῦ Ἀδελφοθέου· ἔνδον τοῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας Θ(εοτό)κου τῶν Βλαχερνῶν.

κζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κζ'. Μνήμ(η) τοῦ ἁγ(ίου) ἀποστόλου καὶ ἀρχιδιακόνου Στεφάνου, ἑνὸς τ(ῶν) ζ' διακόν(ων)».

Λόγων στεφάνοις οἷα τιμίοις λίθοις
στέφω Στέφανον ὃν προέστεψαν λίθοι.
Εἰκάδι λάινος Στέφανον μόρος ἑβδόμῃ εἷλ(εν).

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ζητήσεώς ποτε γενομένης μεταξὺ Ἰουδαίων καὶ Σαδδουκαί(ων) κ(αὶ) Ἑλλήνων [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρίῳ αὐτοῦ τῷ ὄντι πλησίον Κωνσταντιανῶν.

(φ. 165β) «Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θεοδώρου ἀρχιεπισκόπ(ου) Κωνσταντ(ι)ν(ου)πόλε(ως)».

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὑπῆρχε τῆς αὐτῆς πόλεως γέννημά τε καὶ θρέμμα· ἐγένετο δὲ διὰ τὴν πολλὴν αὐτοῦ εὐλάβειαν πρεσβύτερος [. . .]
Τελ.: [. . .] αὐτοῦ δὲ τὴν μνήμην ἑορτάζει ἡ τοῦ Θ(εο)ῦ ἁγία ἐκκλησία ἐν ἡμέρᾳ Κυριακῇ.

κη' «Μη(νὶ) τῷ αὐτ(ῷ) κη'. Μνήμ(η) τῶν ἁγ(ίων) δισμυρί(ων) μαρτ(ύ)ρ(ων)»·

Ὡς προσφοραί σοι σ(ῶτ)ερ ἐξωπτημέναι
οἱ δισμύριοι τοῦ νεὼ κεῖνται μέσον.
Ἀνέρ(ας) ὀγδοάτῃ κτάνεν εἰκάδι δισμυρίους πῦρ.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τοῦ βασιλέως Μαξιμιανοῦ μετὰ νίκης ὑποστρέψαντος ἐκ τοῦ κατὰ τῶν Αἰθιόπων πολέμου [. . .]
Τελ.: [. . .] τ(ὴν) τ(ῶν) οὐ(ρα)νῶν βασιλείαν ἀποληψόμ(εν)ος.

«Ὁ ἅγιος Ἴνδης ἐν τῇ θαλάσσῃ βληθεὶς τε(λειοῦται)».

Ἴνδην ἀκούω τοῦ βίου λαβεῖν πέρας,
ἄκρον καταντήσαντα πρὸς βυθοῦ πέρ(ας).

«Οἱ ἅγιοι Γοργόνιος (καὶ) Πέτρ(ος) ἐν τῇ θαλάσσῃ τε(λειοῦνται)».

Πόντος καλύπτει Γοργόνιον καὶ Πέτρον,
μνήμη δὲ τούτων οὐ καλύπτεται χρόνῳ.

«Ὁ ἅγιος μ(ά)ρ(τυς) Δωρόθεος ξίφει τελειοῦται».

Ὁ Δωρόθεος, τὴν κεφαλήν μου, λέγει,
δῶρον κομίζω τῷ Θ(ε)ῷ τετμημένην.

(φ. 166α) «Ὁ ἅγιος Μαρδόνιος πυρὶ τελειοῦται».

Καὶ Μαρδόνιον μαρτύρων ἔγνων ἕνα,
στέργοντα Χ(ριστὸ)ν (καὶ) στέγοντα πῦρ φλέγον.

«Ὁ ἅγιος Θεόφιλος λιθοβοληθεὶς τε(λειοῦται)».

Ἀπόγραφε, βληθέντα συχνοῖς τοῖς λίθοις,
καὶ Θεόφιλον συλλόγῳ Θ(εο)ῦ φίλων.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων (Ἴνδη, Γοργονίου, Πέτρου, Μαρδονίου, Θεοφίλου κ.ἄ.)

Ἀρχ.: Μετὰ τὸ ἀποφήνασθαι τὸν μιαρὸν Μαξιμιανὸν τοῦ κατακαῦσαι τοὺς ἁγίους δισμυρίους [. . .]
Τελ.: [. . .] πρῶτον μὲν ἀπετμήθη τὴν κεφαλήν· εἶτα πυρὶ κατακαίεται.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Ζήνων ὁ στρατηγὸς ξί(φει) τε(λειοῦται)».

Ζήνων κεφαλὴν τέμνεται διὰ ξίφους,
μὴ προσκυνεῖν ἄγαλμα τοῦ Ζηνὸς θέλων.

«Ὁ ἅγ(ιος) Γλυκέριος ὁ πρεσβύτ(ε)ρ(ος) πυρὶ τε(λειοῦται)».

Ὁ Γλυκέριος εἰς τὸ πῦρ βεβλημένος,
ἔφη γλυκύς μοι τῆς τελευτῆς ὁ τρόπος.

«Ἡ ἁγία Δόμνα ξίφει τελειοῦται».

Ἕκτην συνάπτω ταῖς φρονίμοις παρθ(έ)νοις,
τὴν ψευδόμωρον Δόμναν ἐκτετμημ(ένην).

Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἡ ἁγία αὕτη μάρτυς Δόμνα ὑπῆρχ(εν) ἐπὶ Μαξιμιανοῦ ἐν πόλει Νικομηδείας ἱέρεια τοῦ ἐν τῷ παλατίῳ δωδεκαθέου [. . .]
(φ. 166β) Τελ.: [. . .] ἀνελαμβάνετο τὰ τῶν ἁγίων λείψανα καὶ ἔθαπτε· (καὶ) γνωσθεῖσα ἀπετμήθ(η) τ(ὴν) κε(φα)λ(ήν).

«Μνήμ(η) τῶν ἁγ(ίων) π(ατέ)ρων ἡμ(ῶν) κ(αὶ) αὐταδέλφων Θεοδώρου καὶ Θεοφάνους».

Αὐχεῖν ἔχει τι καὶ Θεόδωρος μέγα,
ἐκ γῆς ἀπαίρων, ὡς μέγα στίξεις θέ(ας).

Ἀκολουθεῖ συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Οὗτος ὁ ἅγιος Θεόδωρος ἅμα τῷ ἀδελφῷ αὐτοῦ Θεοφάνει ἐπὶ Θεοφίλου τοῦ βασιλέως ὑπὲρ τῶν σεπτ(ῶν) (καὶ) ἁγίων εἰκόνων [. . .]
Τελ.: [. . .] ἀγγελικῶν ἐπακοῦσαι ᾠδῶν· (καὶ) αὐτὸν ἕνα τῶν ᾀδόντων γενέσθαι.

Εἰς τὸ συναξάριον τοῦτο παρεμβάλλονται δεκατρεῖς δωδεκασύλλαβοι στίχοι:

Ἀρχ.: Πάντ(ων) ποθούντων προστρέχειν πρὸς τ(ὴν) πόλ(ιν),
ὅπου πάναγνοι τοῦ Θ(εο)ῦ λόγου πόδες
. . . .
Τελ.: . . . .
καταχρίνονται καὶ διώκονται πάλιν,
καὶ παραπεμφθέντες εἰς ἐξορίαν.

Μετὰ τοὺς ὡς ἄνω στίχους συνεχίζεται τὸ συναξάριον εἰς πεζὸν λόγον.
«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγιος Νικάνωρ ὁ ἀπόστολος ἐν εἰρήνῃ τελειοῦται».

Τὸ δίκτυόν σου Νικάνωρ, Θ(εο)ῦ λόγῳ
πολλοὺς ἀγρεῦσαν, ἐρρύη τέλει βίου.

κθ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κθ'. Μνήμ(η) τῶν ἁγί(ων) νηπίων τῶν ἀναιρεθέντων ὑπὸ Ἡρώδου, χιλιάδων ιδ'».

Διὰ ξίφους ἄωρα μ(ητέ)ρων βρέφη
ἀνεῖλεν ἐχθρὸς τοῦ βρεφοπλάστου βρέφους.
Νήπια ἀμφ' ἐνάτην τάμον εἰκάδ(α) παπάζοντ(α).

Ἀκολουθεῖ συναξάριον τῶν σφαγέντων νηπίων.

Ἀρχ.: Προστάξας ὁ βασιλεὺς τῶν Ἰουδαί(ων) Ἡρώδης τοῖς μάγοις ὑποστρέψαι [. . .] (φ. 167α) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Χαλκοπρατείοις, εἰς τὸν ναὸν τῆς ὑπεραγίας Θ(εοτό)κου, ἔνθα ἡ ἁγία σορός.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μαρκέλλου, ἡγουμένου μονῆς τῶν Ἀκοιμήτων».

Ἀυπνίᾳ δοὺς πάντα τῆς ζωῆς χρόνον,
Μάρκελλε κοιμήθητι μικρ(ὸν) ἐν τάφῳ.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος π(ατ)ὴρ ἡμῶν Μάρκελλος ὑπῆρχεν ἐκ πόλεως Ἀπαμείας τῆς δευτέρας Συρί(ας)· ἐξ ἐνδόξου γένους [. . .]
Τελ.: [. . .] ἐν αὐτῇ τῇ μονῇ, ἐν εἰρήνῃ κοιμηθεὶς ἀνεπαύσατο.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμ(η) τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θαδδαίου».
Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος π(ατ)ὴρ ἡμῶν Θαδδαῖος ἀπόδουλος γέγονεν Θεοδώρου, τοῦ τὴν μονὴν τῶν Στουδίου ἐκ βασιλικῆς ἐξουσίας [. . .]
(φ. 167β) Τελ.: [. . .] καὶ πάντα γενναίως ὑπενεγκών, τρεῖς ἐπιβιοὺς ἡμέρας, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

λ' «Τῷ αὐτῷ μηνί, λ' ἡμέρᾳ, ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀνυσίας».

Εἰς δεξιὰν νύττουσιν πλευρὰν καιρίως,
πλευρᾶς Ἀδὰμ κύημα, τὴν Ἀνυσίαν.
Πλευρὰν Ἀνυσίας τριακοστῇ ἔγχος ἔνυξεν.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

(φ. 168α) Ἀρχ.: Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, ἐκ πόλεως Θεσσαλονίκης· γεννήτορας ἔχουσα εὐσεβεῖς καὶ πιστοὺς [. . .]
Τελ.: [. . .] καὶ οὕτω τὸ μακάριον τέλος ἡ ἁγία μάρτυς ἐδέξατο.

«Μνήμ(η) τ(ῆς) ἁγίας Θεοδώρας (τῆς) ἀπὸ κ(αι)σαρίδ(ων)».

Ἀπῆρε δεσμοῦ σαρκὸς ἡ Θεοδώρα,
οὗπερ λυθῆναι ζῶσα καὶ πρὶν ἠγάπα.

Ἀκολουθεῖ συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Αὕτη ἡ ὁσία ἤσκησεν ἐν τῇ μονῇ τ(ῆς) ἁγίας Ἄννης τῇ λεγομένῃ Ῥιγίδιον· ὑπῆρχε δὲ ἐπὶ τῆς βασιλείας Λέοντος, π(ατ)ρ(ὸ)ς Κωνσταντίνου τοῦ Κοπρωνύμου [. . .]
(φ. 168β) Τελ.: [. . .] παντοίων ἀρετ(ῶν) ἰδέαις ἐνδιαπρέψασα, πρὸς τὴν ἀγήρω καὶ μακαρίαν ζωὴν μετατίθεται.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Φιλεταίρου».

Φιλεταῖρος πέπονθεν ἀθλητ(ῶν) νόμῳ,
κἂν οὐκ ἀπῆλθεν ὡς ἀθλητὴς ἐκ βίου.

Ἀκολουθεῖ (φφ. 168β - 169β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Τοῦ Διοκλητιανοῦ ποτὲ ἐλθόντος ἐν Νικομηδείᾳ, ἐμυήθη αὐτῷ περί τινος χριστιανοῦ [. . .]
(φ. 169β) Τελ.: [. . .] (καὶ) ἐτέθησαν πλησίον τοῦ ἁγίου· τὰ δὲ τοῦ ἁγίου Εὐβιώτου προεγράφησ(αν).

«Ὁ ἅγιος Λέων ὁ ἀρχ(ι)μανδρίτ(ης) ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ῥευστοῦ μεταστάς, Χ(ριστ)έ, Λέων ἐκ βίου,
σκύμνον λέοντος ἐξ Ἰούδα σε βλέπει.

λα' «Μη(νὶ) τῷ αὐτ(ῷ) λα'. Μνήμ(η) τῆς ὁσίας Μελάνης τῆς Ῥωμαίας».

Οὐχ ὑλικὴ σε χεὶρ Μελάνη καὶ μέλαν,
Χ(ριστὸ)ς δὲ κἂν τέθνηκας ἐν ζῶσι γράφει.
Πρώτ(ῃ) ἐν τριακοστῇ ἀπῆρε βίοιο Μελάνη[1].

Ἀκολουθεῖ συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Ὀνωρίου καὶ Ἀρκαδίου· γένους περιδόξου· ἐξ ὅλης δὲ ψυχῆς τὸν Κ(ύριο)ν ἀγαπήσασα, παρθενεύειν ᾑρετίσατο [. . .]
(φ. 170α) Τελ.: [. . .] ὡς τῷ Κ(υρί)ῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· (καὶ) εὐθὺς παρέδωκε τὸ πν(εῦμ)α αὐτῆς τῷ Θ(ε)ῷ.

1. Μελάνην cod.

«Μνήμ(η) τοῦ ἁγίου μάρτ(υ)ρος) Ζωτικοῦ τοῦ ὀρφανοτρόφου».

Πώλων συρόντ(ων) Ζωτικὸς σκιρτ(ῶν) τρέχει,
ᾧ βαλβὶς ἡ γῆ, τέρμα δὲ δρόμου πόλος.

Ἀκολουθεῖ (φφ. 170α - 171β) συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἔφυ μὲν ἐκ τῆς πρεσβυτέρ(ας) Ῥώμης· γένους ὑπάρχων ἐντίμου (καὶ) λαμπροῦ [. . .]
(φ. 171β) Τελ.: [. . .] τελεῖτ(αι) δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγ(ίου) ἀπο(στόλ)ου Παύλου, τῷ ὄντι ἐν τῷ Ὀρφανοτροφείῳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Γελάσιος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ὁ Γελάσιος ἄχρι καὶ τέλους βίου,
τὸν ἄξιον γέλωτος ἦν γελῶν βίον.

«Ἡ ἁγία μάρτυς Ὀλυμπιοδώρα πυρὶ τε(λειοῦται)».

Ἀγῶσι πρὸς πῦρ τῆς Ὀλυμπιοδώρ(ας)
ὕμνος τὸ δῶρον, οὐκ ὀλυμπίων πίτυς.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Γάιος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Πολλοὺς ἀνέτλη Γάιος θείους πόνους,
καὶ νῦν τὰ λαμπρὰ τ(ῶν) πόνων ἔχει γέρα.

Ε′ «Μὴ(ν) Ἰανουάριος· ἔχων ἡμέρας λα′, ἡ ἡμέρ(α) ἔχει ὥρας ι′ καὶ ἡ νὺξ ὥρας ιδ′».

α′ «Εἰς τὴν α′ μνήμ(ην) ἑορτάζομεν τῆς κατὰ σάρκ(α) περιτομῆς τοῦ Κ(υρίο)υ καὶ Θ(εο)ῦ καὶ σ(ωτῆ)ρ(ο)ς ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ».

Χ(ριστο)ῦ περιτμηθέντος ἐτμήθη νόμος,
καὶ τοῦ νόμου τμηθέντος εἰσήχθη χάρις.

Ἀκολουθεῖ συναξάριον.

Ἀρχ.: Ἡ κατὰ σάρκα περιτομὴ τοῦ Κ(υρίο)υ ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ, ἣν εἰς ἀναίρεσιν τῆς νομικῆς διατάξεως κατεδέξατο [. . .]
(φ. 172α) Τελ.: [. . .] προκόπτων ἡλικίᾳ καὶ σοφίᾳ (καὶ) χάριτι εἰς σ(ωτη)ρίαν ἡμῶν.

«Μνήμ(η) τοῦ ἐν ἁγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Βασιλείου τοῦ Μ(ε)γ(ά)λ(ου) ἀρχ(ι)επισκόπ(ου) Καισαρείας Καππαδοκί(ας)».

Ζῇ Βασίλειος καὶ θανὼν ἐν Κ(υρί)ῳ,
ζῇ καὶ παρ' ἡμῖν ὡς λαλῶν ἐκ τ(ῶν) βίβλ(ων).
Ἰαννουαρίοιο θάν(ες) Βασίλειε πρώτῃ.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἤκμασεν ἐν τοῖς χρόνοις Οὐάλεντος, πρὸς ὃν καὶ ὑπὲρ τῆς ὑγιοῦς ἐπαρρησιάσατο πίστε(ως) [. . .]
(φ. 172β) Τελ.: [. . .] ἐπιμήκεις τὰς παρειὰς ἔχων· κοῖλος τοὺς κροτάφους [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μ(ε)γ(ά)λ(ῃ) ἐκκλη(σί)ᾳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Θεόδοτος ξί(φει) τε(λειοῦται)».

Ὁ Θεόδοτος, οὐκ ἀνέξομαι, λέγει,
εἰ μὴ κεφαλὴν τοῦ Θ(εο)ῦ τμηθῶ χάριν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Σέργιος ξί(φει) τε(λειοῦται)».

Οὕτω τις εἶδεν εἰσιδὼν εἰς τὸν πέλας,
ὅσῃ χαρᾷ Σέργιος ἐτμήθη κάραν.

«Ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Θεόπιστος λιθοβοληθεὶς τε(λειοῦται)».

Κτείνει σε Θεόπιστε πιστὲ τοῖς λίθοις,
ἡ τῶν ἀπίστων πληθὺς ἐκ δυσβουλί(ας).

«Ὁ ἅγ(ιος) Γρηγόριος, π(ατ)ὴρ τοῦ ἁγ(ίου) Γρηγορίου τοῦ Θεολόγ(ου), ἐν εἰρήνῃ τελειοῦται».

Ἐγκωμιαστὴν οἴκοθεν πλουτεῖς, π(άτ)ερ,
τῆς σῆς τελευτῆς σοῦ τὸν ἐκ μηροῦ γόνον.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ὅσ(ιος) Μᾶρκος ἐν εἰρήνῃ τε(λειοῦται)».

Ὁ Μᾶρκος οὐκ ἤκουε γηΐνων[1] λόγων,
καὶ πρὶν λιπεῖν γῆν ὦτα γῆθεν ἐξάγ(ων).

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Βασιλείου τοῦ ἐξ Ἀγκύρ(ας)».

Βρύχημα, χάσμα, δῆγμα θηρ(ῶν) ἀγρί(ων),
Βασίλειον τὸν πρᾶον οὐκ ἀπεπτόει.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ἦν ἐπὶ τοῦ δυσσεβοῦς Ἰουλιανοῦ· ἐξ Ἀγκύρας πόλεως· (καὶ) διὰ τὸ τὸν Χ(ριστὸ)ν σέβεσθαι [. . .]
Τελ.: [. . .] μαρτύριον σεπτὸν ἐκεῖσε ἐσχάτως οἰκοδομήσαντες.

β′ (φ. 173α) «Μη(νὶ) τῷ αὐτ(ῷ) β′. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Σιλβέστρου πάπα Ῥώμης».

Ζωοῖ νεκρὸν βοῦν, αἰσχύνων Ζαμβρ(ῆν) μάγον,
ὁ καὶ νεκρὸς ζῶν Σίλβεστρος Ῥώμης πάπ(ας).
Θυμ(ὸν) ἀποπνέει Σίλβεστρος δευτερίῃ ἠοῖ[2].

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος χειροτονεῖται διὰ τὴν εἰς ἄκρον ἀρετῆς ἀνάβασιν [. . .]
Τελ.: [. . .] καὶ πολλοῖς σ(ωτη)ρίας αἴτιος γεγονώς, ἐν βαθεῖ γήρᾳ πρὸς Κ(ύριο)ν ἐξεδήμησ(εν).

1. ὀγκίνων cod.
2. ἠοῦ cod.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Θεαγένους».

Θεάγενες, βλήθητι τοῦ πόντου μέσον,
ᾧ κἂν βυθισθῇς[1], ἔνδον ἐκνήξῃ πόλου.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπίσκοπος ἐν τῷ Παρίῳ τοῦ Ἑλλησπόντου [. . .]
Τελ.: [. . .] ἔνθα τ(ὸν) δρόμον πληροῖ τῆς ἀθλήσεως.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Θεόπεμπτος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Τὸν Θεόπεμπτον σαρκικῆς λῦσαι πέδης
ἦλθον, Θ(εο)ῦ πέμψαντος, ἔμπυροι νόες.

«Ἡ ἁγ(ία) Θεοδότη, ἡ μ(ήτ)ηρ τ(ῶν) ἁγ(ίων) Ἀναργ(ύ)ρ(ων), ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Νόσῳ παρῆλθε τὸν βίον Θεοδότη,
νόσων[2] λυτῆρας ἡ τεκοῦσα τῷ βίῳ.

γ´ «Μη(νὶ) τῷ αὐτ(ῷ) γ´. Μνήμ(η) τοῦ ἁγ(ίου) προφήτ(ου) Μαλαχίου».

Ὁ κλῆσιν αὐχῶν ἀγγέλου Μαλαχίας,
αὐχεῖ μάλιστα τὴν μετ' ἀγγέλων στάσ(ιν).
Ἐκ ῥεθέων Μαλαχίου ἀπέπτατο ἐν τρίτῃ ἦτορ.

Ἀκολουθεῖ συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος μετὰ τὴν ὑποστροφὴν τῆς αἰχμαλωσίας, τίκτεται [. . .]
(φ. 173β) Τελ.: [. . .] οὖλος τὴν τρίχα (καὶ) κεκαρμένην ὑποφαίνων· πλατὺ τὸ κρανίον.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Κοσμᾶ ἀρχ(ι)επισκόπ(ου) Κωνσταντινουπό(λεως) τοῦ θαυματουργ(οῦ) τοῦ ἐν τῇ σεβασμίᾳ μονῇ τῆς Χώρας κειμένου· (καὶ) μνήμ(η) τῆς ὁσίας μ(ητ)ρ(ὸ)ς ἡμῶν Συγκλητικῆς».

Συγκλητικὴ λιποῦσα δουλείαν βίου,
κλητοῖς Θ(εο)ῦ σύνεστι[3] δούλοις ἐν πόλῳ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη γένους ὑπῆρχε περιφανοῦς, πλούτῳ καὶ εὐσεβείᾳ· τὸ ἐπίσημον ἔχοντος [. . .]
Τελ.: [. . .] τῆς ἀρετῆς μηδ' ὁτιοῦν καθυφεῖσα, ἐν ἀθλητικοῖς πόνοις πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Πέτρου τοῦ σημειοφόρου, τοῦ ἐν τῷ ἁγίῳ Ζαχαρίᾳ τῆς Ἀτρώας κειμένου· καὶ ἡ σύναξ(ις) τῶν ἁγ(ίων) ο´ ἀποστόλων· οἱ ἅγιοι μάρτυρες, μ(ήτ)ηρ καὶ δύο παῖδες, πυρὶ τελειοῦνται».

Μ(ητ)ρ(ὸ)ς φλεγείσης, (καὶ) τὰ τέκνα πρὸς φλόγα
τετριγότα τρέχουσιν ὡς στρουθοῦ τέκνα.

1. βυθισθεῖς cod.
2. νοσῶν cod.
3. συνέστι cod.

δ' «Μη(νὶ) τῷ αὐτ(ῷ) δ'. Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Γορδίου».

Καὶ τίς παρέλθῃ Γόρδιον τὸν ὁπλίτην,
πρὸς φρικτὸν ὅπλον στερρὸν ἄνδρα, τὸ ξίφος.
Τμηθεὶς ἀμφὶ τετάρτῃ Γόρδιος πέσ(εν) ἐν κονίησ(ιν).

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, ἐπὶ Λικινίου τοῦ βασιλέως, κόμης τὴν τάξιν [. . .]
(φ. 174α) Τελ.: [. . .] καὶ εἰς ἄκραν μανίαν κινήσας, τὴν διὰ ξίφους δέχεται τελευτήν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Εὐθυμίου τοῦ νέου, τοῦ κειμένου πλησίον τοῦ ἁγ(ίου) Μωκίου· καὶ τοῦ ἁγίου ἱερομ(άρτυ)ρος Θεοπέμπτου ἐπισκόπου· καὶ Θεωνᾶ μάρτυρος».

Ὅπως τελευτᾷ Θεόπεμπτος εἰπάτω,
ἀθλῶν τελευτῶ, τὴν κάραν τμηθεὶς ξίφει.

Ἔθεντό με, ἐκραύγαζε τὸ ψαλτηρίου,
λάκκῳ, Θεωνᾶς μάρτυς, ἐν κατωτάτῳ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτος ὁ ἅγιος μάρτυς Θεόπεμπτος ἦν ἐπίσκοπος ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως [. . .]
Τελ.: [. . .] καὶ πολλὴν ἄνωθεν ἐπιφορηθεῖσαν γῆν κατὰ τῆς κεφαλῆς δεξάμενος, πρὸς Κ(ύριο)ν ἐξεδήμησ(εν).

«Μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων) Ζωσίμου καὶ Ἀθανασίου».

Ἀθανάσιος συνθανὼν τῷ Ζωσίμῳ,
ἔνδον πέτρας ἥδιστα κ(αὶ) συζῆν ἔχει.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτος ὁ ἅγιος Ζώσιμος ἦν ἐν Κιλικίᾳ τὴν ἔρημον μετὰ τῶν θηρίων οἰκ(ῶν) [. . .]
(φ. 174β) Τελ.: [. . .] ἔνθα πέτρας διαιρεθείσης ἅμα ὑπεισελθόντες, τῷ Κ(υρί)ῳ παρέδωκαν τὰς ψυχάς.

«Μνήμ(η) τῆς ὁσίας Ἀπολλιναρίας».

Αἴρουσιν ἐκ γῆς τὴν Ἀπολλιναρίαν,
καὶ γὰρ κατοικεῖν οὐ(ρα)νοὺς ἦν ἀξία.

Ἀκολουθεῖ συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ἡ ἀοίδιμος κάλλει καὶ συνέσει τῶν πολλῶν διαφέρουσα [. . .]
(φ. 175α) Τελ.: [. . .] ἐξέστησεν ἅπαντας (καὶ) εἰς εὐχαριστίαν τοῦ Θ(εο)ῦ συνεκάλεσεν.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Χρυσάνθου (καὶ) τ(ῆς) ἁγ(ίας) Εὐφημίας πλησίον τοῦ ἁγ(ίου) Ἀκακίου».

ε' «Μη(νὶ) τῷ αὐτ(ῷ) ε'. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Παύλου τοῦ Θηβαίου».

Εἰ θαῦμα Θήβαις ταῖς παρ' Αἴγυπτον πύλαι,
πόσον γε Παῦλος κἂν βίου λείπῃ πύλας.
Βλαστὸς Θηβαΐδος πέμπτῃ θάνε Παῦλος ἀμύμ(ων).

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐν τοῖς χρόνοις Δεκίου κ(αὶ) Οὐαλλεριανοῦ τῶν διωκτῶν· ὁρμώμενος ἐξ Αἰγύπτου [. . .]
Τελ.: [. . .] ἐκ νεαρᾶς ἡλικί(ας) τ(ῶν) τοῦ βίου φροντίδων μεταναστεύσας.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Γρηγ(ο)ρ(ίου) τοῦ ἐν τῷ Ἀκρίτᾳ».

Ὁ Γρηγόριος ἀρεταῖς λάμψας μέγα,
λαμπρῶς μεταστὰς καὶ μ(έ)γ(α) πλουτεῖ κλέος.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος εἷλκε τὸ γένος ἐκ τῆς περιβοήτου τῶν νήσων Κρήτης· π(ατέ)ρες δὲ αὐτῷ εὐσεβέστατοι [. . .]
(φ. 175β) Τελ.: [. . .] τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμ(εν)ος, ταῖς χερσὶ τοῦ Κ(υρίο)υ τὴν ἑαυτοῦ ψυχὴν ἐναπέθετο.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Φωστηρίου».
Ἀκολουθεῖ (φφ. 175β - 176β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Φωστήριος, ἐξ ἀνατολῶν ἐκλάμψας ὥσπερ ἥλιος, τὰ ἑσπέρια κατελάμπρυνεν [. . .]
(φ. 176β) Τελ.: [. . .] καὶ μετὰ τὴν ἐνταῦθα ἀποβίωσ(ιν), ἥτις κ(αὶ) γέγονε κατὰ τὴν πέμπτην τοῦ ἰανουαρίου μηνός· πρὸς ἑσπέραν δέ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) μάρτυς Γάϊς, τῇ θαλάσσῃ βληθείς, τελειοῦται».

Ἦλθον θαλάσσης εἰς βάθη, λέγει Γάϊς,
φυγὼν τὰ ποντίζοντα τ(ῆς) πλάν(ης) βάθη.

«Ὁ ἅγ(ιος) Θεόειδος ὑπὸ δημίων πατούμ(εν)ος τε(λειοῦται)».

Πόδες πατοῦντες σαρκίον Θεοείδου,
ψυχὴν ἀποθλίβουσι ληνῷ τοῦ πόλου.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ἡ ὁσ(ί)α Δόμνα ἐν εἰρήνῃ τε(λειοῦται)».

Χαρίζεταί σοι τὴν ἄνω κληρουχίαν,
Δομνῖνα, σαρκὸς ἡ κάτω κακουχία.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ἡ ὁσ(ί)α Τατιανὴ ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Τατιανὴ τακεῖσα νηστείαις πάλαι,
σὺν ἀγγέλοις σύνεστιν νηστείαις φίλοις.

ς' «Μη(νὶ) τῷ αὐτ(ῷ) ς'. Τελεῖται ἡ ἑορτ(ὴ) τῶν ἁγ(ίων) Θεοφανίων».

Τοὺς οὐ(ρα)νοὺς βάπτισμα τοῦ Χ(ριστο)ῦ σχίσαν,
τοὺς αὐτὸ μὴ χραίνοντας ἔνδον εἰσάγει.
Βάπτισ(εν) ἐν ποταμῷ Χ(ριστὸ)ν Πρόδρομος κ(α)τ(ὰ) ἕκτ(ην).

Ἀκολουθεῖ συναξάριον.

Ἀρχ.: Τὰ ἅγια Θεοφάνια ἑορτάζομεν τοῦ Κ(υρίο)υ (καὶ) Θ(εο)ῦ [. . .]
Τελ.: [. . .] ἄν(θρωπ)ον ἀνακαινίσας καὶ ἀναπλάσας, οὐ(ρα)νῶν βασιλείαν αὐτῷ ἐχαρίσατο.

ζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ζ'. Ἡ σύναξις τοῦ τιμίου προφήτ(ου) προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· συνέδραμε δὲ καὶ ἡ τῆς παν⟨αοι⟩δίμου χειρὸς πρὸς τὴν βασιλεύουσ(αν) μ⟨ετακομιδή⟩».

(φ. 177α) Ἐμή σε γλῶσσα κῆρυξ πῶς ἂν αἰνέσει,
ὃν γλῶσσα Χ(ριστο)ῦ γηγενῶν μείζω λέγει;
Μνήμ(η) ἑβδομάτῃ Προδρόμου λάχεν αἰδοίοιο.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Ἐν τῇ πόλει Σεβαστῇ ἐν ᾗ λέγεται <τε>θάφθαι τὸ τοῦ Προδρόμου σῶμα, Λουκᾶς ὁ εὐαγγελιστὴς παραγενόμ(εν)ος [. . .]
(φ. 177β) Τελ.: [. . .] ἐν τοῖς βασιλείοις ἀπέθετο· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς Φορακίου.

η' «Μη(νὶ) τῷ αὐτ(ῷ) η'. Μνήμ(η) τῆς ὁσ(ίας) μ(ητ)ρ(ὸ)ς ἡμ(ῶν) Δομνίκ(ας)».

Λιποῦσα τὴν γῆν οὐ(ρα)νόφρων Δομνίκα,
εἰς οὐ(ρα)νοὺς ἀνῆλθεν ὥσπερ ἠγάπα.
Δομνίκ(αν) ὀγδοάτ(ῃ) πότμου λάβε νὺξ ἐρεβεννή.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη ἦν ἐπὶ Θεοδοσίου τοῦ μεγάλου βασιλέως, παρέτεινε δὲ ἕως Ζήνωνος καὶ Λέοντος [. . .]
Τελ.: [. . .] καὶ θαύματα ἐνεργεῖν καταξιωθεῖσα, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων) Ἰουλιανοῦ καὶ Βασιλίσσης καὶ τ(ῶν) σὺν αὐτοῖς».

Ἰουλιανῷ πολλὰ καὶ Βασιλίσσῃ
ἔπαθλα κεῖνται, κειμένοις ἐκ τοῦ ξίφους.

Τέμνει κεφαλ(ὴν) τὸ ξίφος τὴν Κελσίου,
καὶ σὺν κεφαλῇ τῇδε τὴν Ἀντωνίνου.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ ἅγιος μάρτυς Ἰουλιανὸς κατὰ τοὺς χρόνους ἦν Διοκλητιανοῦ κ(αὶ) Μαρκιανοῦ ἡγεμόνος ἐν Ἀντινοουπόλει τῆς Αἰγύπτου [. . .]
(φ. 178α) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ τῷ ὄντι πλησίον τοῦ Φόρου.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Καρτερίου».

Πάλαιε Καρτέριε[1] πρὸς πῦρ καὶ δόρυ,
τὸ καρτερόν σου πρὸς πάλας δεικνὺς δύο.

1. Πάλαι ἐγκαρτέριε cod.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ καὶ Οὐρβανοῦ ἡγεμόνος Καισαρείας τῆς Καππαδοκίας· ἱερεὺς καὶ διδάσκαλος τῶν χριστιανῶν [. . .]
(φ. 178β) Τελ.: [. . .] ὕστερον δὲ αἵματος ἐξελθόντος, τὴν ψυχὴν ἀφῆκεν εἰς χεῖρας Θ(εο)ῦ.

«Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Κύρου, ἀρχιεπισκόπ(ου) Κωνσταντ(ι)ν(ου)πόλε(ως)· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ σεβασμίᾳ μονῇ τῆς Χώρας· ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ἐν ἡμέρᾳ Κυριακῇ».

Ὁ σὴν μελίζων σάρκα Χ(ριστ)έ μου Κῦρος,
σαρκὸς διαστάς, σῷ παρίσταται θρόνῳ.

«Ὁ ἅγ(ιος) Ἀττικός, π(ατ)ριάρχ(ης) Κωνστ(αν)τ(ι)ν(ουπόλ(εως), ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ὅλην ὑπερβὰς τὴν ὕλην τοῦ σαρκίου,
ἥκεις ὅλος νοῦς Ἀττικὲ πρὸς τοὺς νόας.

«Ὁ ἅγ(ιος) Σαμέ(ας) ὁ προφήτ(ης) ὁ ἐλαμίτ(ης) ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Ἐν γῇ τὸ μέλλον οὐκέτι χρᾷ Σαμέας,
ἄνω γὰρ οὗτος ὁ προφητικὸς τρίπους.

«Ὁ ἅγ(ιος) Ἀγάθων ἐν εἰρήνῃ τελειοῦται».

Ὡς ἠγαθύνθη Ἀγάθων τὴν καρδίαν,
εἰρηνικοῦ σοῦ κ(αὶ) μόνου μνησθεὶς τέλους.

«Ὁ ἅγ(ιος) Θεόκτιστος ἐπίσκοπος ἐν εἰρήνῃ τε(λειοῦται)».

Ἐν γῇ χλοαυγεῖ τῆς Ἐδὲμ Θεοκτίστῳ
(φ. 179α) μοῖραν δίδως, ἄκτιστε τοῦ Θ(εο)ῦ λόγε.

θ′ «Μη(νὶ) τῷ αὐτ(ῷ) θ′. Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Πολυεύκτου».

Ὁ Πολύευκτος οὗ τὸ πάθος τομὴ λόγε,
πολλῆς δι' εὐχῆς εἶχε σοῦ παθεῖν χάριν.
Ἀμφ' ἐνάτῃ Πολύευκτε τομὴ μέγα δῶκέ σοι εὖχος.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Δεκίου καὶ Βαλλεριανοῦ τῶν βασιλέων· ἐν Μελιτηνῇ τῆς Ἀρμενίας στρατευόμενος [. . .]
Τελ.: [. . .] τὴν διὰ ξίφους δέχετ(αι) τελευτήν· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρίῳ.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Εὐστρατίου τοῦ θαυματουργοῦ».

Κἂν Εὐστρατίου τὸ πν(εῦμ)α λαμβάνῃ πόλος,
τὸ σῶμα τῇ γῇ θαυμ(ά)τ(ων) βλύζει χάριν.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐκ χώρας Ταρσίου, οὕτω λεγομένης· τελούσης ὑπὸ τὸ θέμα τῶν Ὀπτιμάτων [. . .]

(φ. 180α) Τελ.: [. . .] καὶ τὸν τῆς ἀναπαύσεως ὕπνον ὕπνωσε· ζήσας τὰ σύμπαντα ἔτη ἐνενηκονταπέντε.

ι' «Μη(νὶ) τῷ αὐτῷ ι'. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Γρηγορίου ἐπισκόπου Νύσσης».

Ἡ μοῦσα Γρηγόριος οὗ Νύσσα θρόνος,
οὐ Πιερίαν ἀλλ' Ἐδὲμ σκηνὴν ἔχει.
Γρηγόριον δεκάτῃ θανάτου τέλος ἀμφεκάλυψ(εν).

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἦν ἀδελφὸς τοῦ Μεγάλου Βασιλείου· λαμπρὸς ἐν λόγοις καὶ τῆς ὀρθοδόξου πίστεως ζηλωτής [. . .]
Τελ.: [. . .] κατὰ πάντα τῷ ἀδελφῷ Βασιλείῳ προσεοικώς· πλὴν τοῦ πολιοῦ καὶ τοῦ χαριεστάτου· ἐπὶ βραχύ.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Δομετιανοῦ, ἐπισκόπου Μελιτηνῆς».

Δομετιανὸς τῆς φθορᾶς ἀπηλλάγη,
εἴπερ φθορὰν χρὴ τόνδε τ(ὸν) βίον λέγειν.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ἰουστίνου τοῦ μικροῦ· Θεοδώρου καὶ Εὐδοκίας υἱὸς γεγονὼς [. . .]
(φ. 180β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις καὶ τοῦ ἁγίου Γρηγορίου Νύσσ(ης) ἐν τῇ ἁγιωτάτῃ μ(ε)γ(ά)λ(ῃ) ἐκκλησίᾳ.

«Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Μαρκιανοῦ πρεσβυτέρου καὶ οἰκονόμου τῆς τοῦ Θ(εο)ῦ μεγάλης ἐκκλησίας».

Ἀπῆρεν ἔνθεν πρὸς πόλου μέγα κλέος
ὁ Μαρκιανὸς οὗ κλέος κἀν γῇ μέγα.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαρκιανοῦ καὶ Πουλχερίας [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου προφήτου τοῦ βαπτιστοῦ· πλησίον τῆς κινστέρν(ης) τῆς Μωκησί(ας) ἐν τ(οῖς) Δανιήλ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) τελεῖται ἡ σύναξις διὰ τὸν μέγαν σεισμ(ὸν) γεγονότα κατ' αὐτὴν τὴν ἡμέρ(αν), ἐν ἀρχῇ τῆς βασιλείας Βασιλείου· ὅτε καὶ ὁ ναὸς τῆς ὑπ(ερα)γ(ίας) Θ(εοτό)κου ἐν τῷ Σίγματι (καὶ) ἄλλαι πολλαὶ ἐκκλησίαι (καὶ) ἰδιωτικοὶ κατέπεσον οἶκοι· (καὶ) μνήμ(η) τοῦ ἁγ(ίου) Ἀμμωνίου».

ια' «Μη(νὶ) τῷ αὐτῷ ια'. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θεοδοσίου τοῦ κοινοβιάρχ(ου)· τοῦ καθηγητοῦ τῆς ἐρήμου».

Κοινοῦ Θεοδόσιος ἡγεμὼν βίου,
κοινῇ μονασταῖς ἐκβιώσας ζημίᾳ.
Ἑνδεκάτῃ ὀλοὸν βίοτον λίπε κοινοβιάρχ(ης).

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὑπῆρχε δὲ ὁ ὅσιος οὗτος Θεοδόσιος ἐκ κώμης Μωγαρισοῦ λεγομένης τῆς Καππαδοκῶν ἐπαρχίας [. . .]
(φ. 181β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου Πέτρου.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Θεοδοσίου τοῦ ἐξ Ἀντιοχείας».

Στενὴν ὁδεύσας Θεοδόσιος τρίβον,
τὴν εὐρύχωρον τῆς Ἐδὲμ πατεῖ τρίβον.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Θεοδόσιος ὁ ἀσκητής, ἕτερός ἐστ(ιν), ἐκ πόλεως Ἀντιοχείας ὁρμώμ(εν)ος [. . .]
Τελ.: [. . .] καὶ μικρόν τι ἐπιβιούς, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

(φ. 182α) «Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ἡ σύναξις τῶν μυρίων ἀγγέλ(ων)· τελεῖται δὲ τοῦ μαρτυρίου ἔνδον τῆς ἁγίας Ἀναστασίας ἐν τοῖς Δομνίνου Ἐμβόλοις· (καὶ) τοῦ ἁγ(ίου) ἀποστόλου Μάρκου πλησίον τοῦ Ταύρου· (καὶ) τοῦ ἁγ(ίου) Στεφάνου ἐν Πλακιδιαναῖς· καὶ τοῦ ἁγ(ίου) Θεοδώρου (καὶ) Ἀγαπίου ἀρχ(ι)μανδρίτου· (καὶ) τῆς ἁγί(ας) Εὐπραξί(ας)· καὶ τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Μαΐρου».

Μάιρος ἐκραύγαζ(εν) ὢν ἐν αἰκίαις,
μὴ δειλιᾷς Μάιρε, πλήττου καὶ στέφου.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ὅσιος Βιτάλιος ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Καὶ πν(εῦμ)α δόντα Βιτάλιε Κ(υρί)ῳ,
τὰ πν(εύμ)ατα φρίττει σε τῆς πονηρίας.

ιβ΄ «Μη(νὶ) τῷ αὐτῷ ιβ΄. Μνήμ(η) τῆς ἁγ(ίας) μ(άρτυ)ρος Τατιανῆς».

Τῆς πάντα λαμπρ(ᾶς) Τατιανῆς τῇ κάρᾳ
λαμπρὸν προεξένησε τὸ ξίφος στέφος.
Τῇ δύο κ(αὶ) δεκάτ(ῃ) Τατιανῆς αὐχένα κέρσ(αν).

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐκ τῆς πρεσβυτέρας πόλεως Ῥώμης ἐπὶ τῆς βασιλείας Ἀλεξάνδρου [. . .]
Τελ.: [. . .] θηρίοις καὶ πυρὶ φανεῖσα ἀνάλωτος, τ(ὴν) κεφαλ(ὴν) τέμνεται.

«Μνήμ(η) τοῦ ἁγ(ίου) Πέτρ(ου) τοῦ Ἀβεσαλαμίτου».

Ἀπανθρακωθεὶς καρδίας πόθῳ,
ἐπ᾽ ἀνθράκων ἥδιστα Πέτρος ἐκπνέει.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος τῇ κατὰ πίστιν εὐσεβείᾳ (καὶ) τῇ κατὰ τὸ σῶμα ῥώμῃ ἀκμάζ(ων) [. . .]
Τελ.: [. . .] πυρὶ τελειοῦται, ἐν ᾧ τὸν στέφανον ἐκομίσατο.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Μερτίου».

Θ(εὸ)ν ποθῶν ὕψιστον ἰσχυρὸν μόνον,
μαστίζεται Μέρτιος ἰσχυρῶς ἄγαν.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἤχθη ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, στρατευόμενος ὑπὸ τὸ τάγμα τῶν μάρων [γρ. Μαύρων (;)] [. . .]
(φ. 182β) Τελ.: [. . .] τοῖς πόνοις ἀποκαμὼν ὁ ἀοίδιμος, τὴν τιμίαν αὐτοῦ ψυχ(ὴν) εἰς χεῖρ(ας) Θ(εο)ῦ ἐπαφίησιν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) οἱ ἅγιοι ὀκτὼ μάρτυρ(ες) ξί(φει) τε(λειοῦνται)».

Θνήσκει χορός τις ὀκτάριθμος ἐκ ξίφους,
αἰῶνος εὑρεῖν ὀγδόου ζωὴν θέλων.

«Ἡ ἁγία μάρτυς Εὐθασία ξί(φει) τε(λειοῦται)».

Αὐτὴν κεφαλὴν ἐκ ξίφους Εὐθασία
αὐτῷ τῷ Θ(ε)ῷ π(ατ)ρὶ κόσμον προσφέρει.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ θαυματουργ(οῦ) Ἠλιοῦ· καὶ τοῦ ἁγ(ίου) Θεοδώρου Εὐχαΐτ(ων)· κ(αὶ) τῆς ὁσίας Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ· (καὶ) τοῦ ἁγ(ίου) Ἀλεξάνδρου πλησίον τῶν ἁγίων Ἀποστόλων».

ιγ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιγ'. Μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων) Ἑρμύλου κ(αὶ) Στρατονίκου».

Ἡ σαργάνη ναῦς Ἑρμύλῳ, Στρατονίκῳ,
κοινὸν κατάπλουν εἰς βυθὸν ποιουμ(ένοις).
Ἑρμύλον ἠδ' ἑτάρον δεκάτῃ πνίξε τρίτ(ῃ) Ἴστρος.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Λικινίου τοῦ βασιλ(έως)· ἦν δὲ ὁ ἅγιος Ἑρμύλος κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν διάκονος [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἀρχαγγέλου Μιχαὴλ τῷ ὄντι ἐν τῇ Ὀξείᾳ.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰακώβου τοῦ ἀπὸ τ(ῆς) Νισίβε(ως)».

Τὸν Ἰάκωβ(ον) θνητ(ὸν) ὄντα τῇ φύσει,
θνητοῖς ὁμοίως μὴ θανεῖν οὐκ ἦν πρέπον.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος γέννημα καὶ θρέμμα τῆς μεγαλοπόλεως Νισίβεως ἦν· (καὶ) τὸν ἐρημικὸν καὶ ἡσύχιον βίον ἀγαπήσας [. . .]
(φ. 183α) Τελ.: [. . .] μακαρί(ως) ἀνεπαύσατο, πλήρης γενόμενος ἡμερῶν.

«Ὁ ἅγ(ιος) Ἀθανάσιος ῥαβδιζόμ(εν)ος τελειοῦται».

Ῥάβδοις Ἀθανάσιε σαυτὸν ἐκδίδως,
σπεύδων θανεῖν μέν, ζῆν δὲ πολλῷ κρειττόν(ως).

«Ὁ ἅγ(ιος) Παχώμιος κ(αὶ) Παπυρῖνος ἐν ποταμῷ τε(λειοῦνται)».

Τοιοῦτον εὗρε καὶ Παπυρῖνος τέλος,
οἷον σὺ Παχώμιε, βληθεὶς εἰς ὕδωρ.

«Τὰ ἐγκαίνια τοῦ ἁγ(ίου) πρ(ο)φ(ήτ)ου Ἠλιοὺ τ(ῆς) μο(νῆς) τοῦ Βαθέου Ῥύακος».

ιδ′ (φ. 183β) «Μη(νὶ) τῷ αὐτῷ ιδ′. Μνήμ(η) τ(ῶν) ἁγ(ίων) ἀββάδων τ(ῶν) ἐν Σινᾶ τῷ ὄρει ἀναιρεθέντ(ων)».

Σπάθαι τὸ πρᾶξαν ὧδε τοὺς πολλοὺς φόνους,
τὸ δ' αὖ πεπονθός, ἄνδρες ἀρετῆς φίλοι.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι τὸν ἀσκητικὸν βίον ποθοῦντες, πᾶσι τοῖς τοῦ κόσμου χαίρειν εἰπόντες [. . .]
Τελ.: [. . .] οὓς ἔθαψ(αν) οἱ δύο μοναχοί, οἱ καὶ τὰ περὶ αὐτ(ῶν) εἰπόντες.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τ(ῶν) ἁγ(ίων) λγ′ π(ατέ)ρων τ(ῶν) ἐν Ῥαϊθοὺ ἀναιρεθέντων».

Ὡς πρὶν Ῥαχὴλ τὰ τέκνα, νῦν τοὺς ἀββάδ(ας)
κλαίει Ῥαϊθὼ συγκεκομμένους σπάθαις.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ μακάριοι π(ατέ)ρες τὸν ἀσκητικ(ὸν) ἀγῶνα διήνυον ἔνθα εἰσὶν αἱ δώδεκα πηγαὶ τῶν ὑδάτων [. . .]
(φ. 184α) Τελ.: [. . .] ἐμάνησαν καὶ ἔσφαξ(αν) πᾶσαν τὴν αἰχμαλωσίαν· ἐσφάγησαν δὲ καὶ αὐτοί.

«Μνήμ(η) τοῦ ὁσί(ου) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θεοδούλου».
Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν υἱὸς Νείλου τοῦ σοφοῦ [. . .]
Τελ.: [. . .] τελεῖται δὲ τῶν τοιούτων π(ατέ)ρων ἡ σύναξις ἅμα ἐν τῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου Παύλου ἐν τῷ Ὀρφανοτροφείῳ.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Στεφάνου τοῦ κτίσαντος τὴν μονὴν τοῦ Χηνολάκκου».

Τῷ Χηνολάκκου τ(ὴν) μονὴν δειμαμένῳ
θείῳ Στεφάνῳ λάκκος ὠρύχθη τάφου.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὑπῆρχε τῶν ἀφ' ἡλίου ἀνατολῶν, εὐγενὴς κατὰ τὸν μέγαν Ἰὼβ [. . .]
(φ. 184β) Τελ.: [. . .] ἀπὸ τῶν κάτω πρὸς τὰς ἄνω κατοικίας ἀπέπτη.

«Ἡ ἁγ(ία) Ἁγνὴ ἐν σκοτεινῇ φρουρᾷ τε(λειοῦται)».

Ἁγνὴν ἄναγνοι θέντες εἰς οἶκον σκότους,
πάμφωτον αὐτῇ προὐξένησ(αν) οἰκίαν.

«Ἡ ἐν τῷ κυρίῳ πάσχα Κ(υριακὴ) τοῦ τελών(ου κ(αὶ) τοῦ φαρ(ισ)αίου».

Φαρισαΐζων, ἱεροῦ μακρὰν γίνου,
Χ(ριστὸ)ς γὰρ ἔνδον, ὦ ταπεινοί, δεκτέον.

ιε' «Μη(νὶ) τῷ αὐτῷ ιε'. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰω(άννου) τοῦ διὰ Χ(ριστὸ)ν πτωχοῦ».

Ἀρνησίκοσμος παῖς λιπὼν γ(ῆς) καλύβ(ας),
ἐν οὐ(ρα)νοῖς ἔπηξε καινὴν καλύβαν.
Πέμπτη Ἰωάν(ης) δεκάτη τάφη ἀμφὶ καλύβαν.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐκ[1] Κωνσταντινουπόλεως· υἱὸς Εὐτροπίου συγκλητικοῦ καὶ Θεοδώρας [. . .]
(φ. 185α) Τελ.: [. . .] ὄντι ἐν τῇ τῶν παίδ(ων) σχολῇ, ἑαυτὸν κατέστησε γνώριμον.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Πανσοφίου».

Καὶ Πανσόφιον πλήξατε πλάνοι πλέον,
οὕτω γὰρ αὐτῷ πλέξετε πλείω στέφη.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐξ Ἀλεξανδρείας· π(ατ)ρ(ὸ)ς Νείλου, τῇ τοῦ ἀνθυπάτου τιμηθέντος ἀξίᾳ [. . .]
Τελ.: [. . .] τύπτεται σφοδρῶς, (καὶ) τὸν τοῦ μαρτυρίου κομίζεται στέφανον.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Κοσμᾶ τοῦ ποιητοῦ· ἐπισκόπου Μαϊουμᾶ τοῦ ἁγιοπολίτου».

Ἀπῆλθε Κοσμᾶς ἔνθα πᾶσα τερπνότης,
μέλη λιπὼν τέρποντα τὴν ἐκκλησί(αν).

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Περὶ τούτου οὕτως ὁ λόγος ἐκ π(ατέ)ρων εἰς ἡμᾶς ἀφίκετο [. . .]
(φ. 185β) Τελ.: [. . .] καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἐν εἰρήνῃ ἀνεπαύσατο.

«Οἱ ἅγ(ιοι) ἓξ π(ατέ)ρες οἱ ἐν ἐρήμῳ, ἐν εἰρή(νῃ) τε(λειοῦνται)».

Ψυχαὶ διαυγεῖς ἓξ διαπτᾶσαι βίου,
ἐξαπτέρυξι συμπαρίστανται νόοις.

ις' «Μη(νὶ) τῷ αὐτ(ῷ) ις'. Τοῦ ἁγ(ίου) ἀποστόλ(ου) Πέτρου ἕνεκ(εν) ὧν ἐνεδύσατο ἁλύσε(ων)».

Σὴν προσκυνοῦμ(εν) Πέτρε σειρὰν τιμί(αν),
σειρᾶς μακρᾶς λῦσόν μου τ(ῶν) ἐγκλημ(ά)τ(ων).
Σειρ(ὴν) προσκυνέω Πέτρου δεκάτ(ῃ) ἐνὶ ἕκτῃ.

1. ἐν cod.

Ἀκολουθεῖ σύντομον συναξάριον.

Ἀρχ.: Ἐν ᾗ προσκυνεῖται ἡ διὰ Χ(ριστὸ)ν περιτεθεῖσα αὐτῷ ἅλυσις [. . .]
Τελ.: [. . .] ἔνθα καὶ ἡ σύναξις αὐτοῦ ἐπιτελεῖται.

«Μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων) καὶ αὐταδέλφων· Πευσίππου· Ἐλασίππου· καὶ Νεονίλλας τῆς μάμμης αὐτ(ῶν)· (καὶ) Μελασίππου».

Κἂν ὦσιν ἱππεῖς κλήσεων σημασίᾳ,
πεζοὶ τρέχουσι τρίδυμοι τρεῖς πρὸς φλόγα.

Νεονίλλα γραῦς, ἀλλὰ πῦρ ἀνημμένον,
ὥσπερ τις ἀκμάζουσα καρτερεῖ νέα.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐκ Καππαδοκίας τρίδυμοι· πωλοδαμνεῖν ἄριστοι καὶ τοὺς ἵππους κατὰ πεδίων κινεῖν [. . .]
(φ. 186α) Τελ.: [. . .] ἐν πυρὶ βληθέντες, τὸν τοῦ μαρτυρίου στέφανον ἔλαβον.

«Μνήμ(η) τοῦ ἁγ(ίου) Δάνακτος τοῦ ἀναγνώστου».

Συναφῃρέθης τῷ δέλτα σὺν κάρᾳ Δάναξ,
τμηθεὶς γὰρ ὤφθης οὐ(ρα)νότμητος ἄναξ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ τοῦ Ἰλλυρικοῦ· ἐξ Αὐλῶνος οὕτω καλουμένου τόπου [. . .]
Τελ.: [. . .] τοῖς παρ' αὐτῶν ἐπιφερομέν(οις) ξίφεσιν ἀναιρεῖται.

ιζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιζ'. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου».

Ἔχει τι μεῖζον οὐ(ρα)νὸς καὶ τῶν νόων,
ἔξαρχον Ἀντώνιον ἀσκητῶν ἔχων.
Ἑβδομάτ(ῃ) δεκάτ(ῃ) Ἀντώνιον ἔνθεν ἄειραν.[1]

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος τὸ μὲν γένος ἦν Αἰγύπτιος· ἐκ π(ατέ)ρων καὶ προγόνων τὴν εἰς Χ(ριστὸ)ν πίστιν δεδιδαγμένος [. . .]
Τελ.: [. . .] ὁ δὲ βίος αὐτοῦ συνεγράφη ὑπὸ τοῦ μεγάλου Ἀθανασίου ἀρχ(ι)επισκόπου Ἀλεξανδρείας.

«Μνήμ(η) τοῦ ὁσίου Θεοδότου ἐπισκόπου Κυρηνείας τῆς Κύπρου».

Κοίμησιν εἰδὼς τοῦ Θεοδότου γράφω,
τοῦ πάντα κοιμήσαντος ἀπρεπῆ πάθη.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Λικινίου τοῦ βασιλέ(ως)· καὶ Σαβίνου ἡγεμόνος τῆς Κυπρίων νήσου [. . .]
(φ. 186β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ εὐκτηρίῳ οἴκῳ τῆς ἁγί(ας) Θεοτόκου ἐν τοῖς Ἁρματίου.

1. ἄγειραν cod.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰουλιανοῦ».

Ἐκ τοῦ παρατρέχοντος ὡς ὄναρ βίου,
Ἰουλιανὸς ἄσμενος παρατρέχει.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος πρώην ἐν τῇ Ὀσροηνῶν ὀνομαζομένῃ πρὸς τῷ ποταμῷ Εὐφράτῃ τὴν καλύβαν ἐπήξατο [. . .]
Τελ.: [. . .] εἰς τὴν ἀγήρω καὶ ἄλυπον (καὶ) μακαρίαν ζωὴν μετετάξατο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Ἀχιλλ(ᾶς) ἐν εἰρήνῃ τε(λειοῦται)».

Ὅπλοις Ἀχιλλεὺς τὰς κάτω πορθεῖ πόλ(εις),
πόνοις Ἀχιλλᾶς τὴν ἄνω πλουτεῖ πόλιν.

ιη′ «Μη(νὶ) τῷ αὐτ(ῷ) ιη′. Μνήμ(η) τῶν ἁγίων π(ατέ)ρων ἡμῶν Ἀθανασίου καὶ Κυρίλλου».

(φ. 187α) Ἀθανάσιον καὶ θανόντα ζῆν λέγω,
οἱ[1] γὰρ δίκαιοι ζῶσι καὶ τεθνηκότες.
Τάρχυσ(αν) ὀγδοάτ(ῃ) νέκυν Ἀθανασίου δεκάτ(ῃ).

Σιγῆς Κυρίλλου[2] σήμερον μνήμην ἄγει,
ἀλλ' οὐ τελευτῆς ἀειμνήστου κτίσις.

Ἀκολουθεῖ συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Τούτων ὁ μὲν ἅγιος Ἀθανάσιος ἦν ἐπὶ τοῦ μεγάλου βασιλέως Κωνστ(αν)τίνου καὶ ἐν τῇ πρώτῃ κατὰ Νίκαι(αν) συνόδῳ [. . .]
Τελ.: [. . .] τ(ὴν) τρίχωσιν ὑπόξανθος· μιξοπόλιος· τελεῖται δὲ ἡ αὐτῶν σύναξ(ις) ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλη(σ)ίᾳ.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Μαρκιανοῦ».

Χοῦς Μαρκιανὲ τυγχάνων, εἰς χοῦν λύῃ,
τὸ δόγμα τοῦ πλάσαντος οὐκ ἔχων λύει<ν>.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος π(ατ)ρίδα μὲν ἔσχε τὴν Κῦρον· (καὶ) μετὰ ταύτην τὴν ἔρημον [. . .]
(φ. 187β) Τελ.: [. . .] (καὶ) πολλοὺς τὰ τῆς ἀρετῆς διδάξ(ας), τὰ ἐπίγεια καταλιπ(ών), πρὸς οὐ(ρα)νοὺς μετέστη.

«Μνήμ(η) τῆς ἁγίας Θεοδούλης».

Τὴν Θεοδούλην ἐκ ξίφους τεθνηκέναι
δοῦλοι θεῶν κρίνουσι τῶν ψευδωνύμων.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Αὕτη ὑπῆρχεν ἐκ τῆς Ἀναζαρβέ(ων) [γρ. Ἀναβαρζέων] πόλεως· ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ [. . .]

1. εἰ cod.
2. κύριλλος cod.

Τελ.: [. . .] (καὶ) ἐπὶ πολὺ προσευξαμένη (καὶ) τὰς χεῖρ(ας) ἐκτείνασα, παρέδωκε τὸ πν(εῦμ)α.

«Ἡ ἁγία μάρτυς Ξένη πυρὶ τελειοῦται».

Ὁ Χ(ριστὸ)ς ἦλθε πῦρ βαλεῖν εἰς γῆν πάλαι,
Ξένη τρέφουσα καρτερεῖ τὸ πῦρ ξένως.

ιθ' (φ. 188α) «Μη(νὶ) τῷ αὐτ(ῷ) ιθ'. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μακαρίου τοῦ Αἰγυπτίου (καὶ) ἀναχωρητοῦ».

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος γέγονε τῆς ἐρήμου θρέμμα κ(αὶ) γέννημα· ἐξ ἁπαλῶν ὀνύχων τὴν ἀρετὴν μετελθ(ὼν) [. . .]
(φ. 188β) Τελ.: [. . .] ἐν τοῖς θεαρέστοις οὖν ἔργοις κοσμούμενος, ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μακαρίου τοῦ Ἀλεξανδρέως».

Θανοῦσα θείων ἡ δυὰς Μακαρίων,
ζωῆς μετέσχε τῆς μακαριωτάτης.
Γῆν μακάρ(ων) λάχον ἐννέα κ(αὶ) δεκάτ(ῃ) Μακάριοι.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἅγιος Μακάριος ὁ Ἀλεξανδρεύς, πρεσβύτερος ἐχρημάτισε τῶν λεγομ(ένων) κελλίων [. . .]
(φ. 189α) Τελ.: [. . .] ἐπὶ τοῦ χείλους μόνον ἔχων τρίχ(ας) καὶ εἰς τὸ ἄκρον τοῦ πώγωνος.

«Μνήμ(η) τῆς ἁγί(ας) μ(άρτυ)ρος Εὐφρασίας».

Ψεύδει σοφῷ φυγοῦσα σαρκὸς τ(ὴν) ὕβρ(ιν),
ἀθλεῖς ἀληθῶς ἐκ ξίφους Εὐφρασία.

Ἀκολουθεῖ σύντομον συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐκ πόλεως Νικομηδείας, ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, γένους ἐπισήμου· [. . .]
Τελ.: [. . .] τὴν αὐτῆς ἀπέτεμ(εν) κεφαλ(ήν).

«Ἡ εἰς τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Γρηγ(ο)ρ(ίου) τοῦ Θεολόγου».

Ἔχει νεκρὸν σὸν ἡ καλὴ μετοικία,
καλῶ γὰρ ὡς σὺ τοὺς ἀποστόλους, π(άτ)ερ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων)· Λουκιανοῦ· Παύλης· καὶ τῶν σὺν αὐτοῖς νηπί(ων)· Κλαυδίου· Ὑπατίου· Παύλου· (καὶ) Διονυσίου. Τελεῖτ(αι) δὲ ἡ αὐτ(ῶν) σύναξις ἐν τῷ οἴκῳ τοῦ π(ατ)ριάρχ(ου) Ἀναστασίου ἐν τῇ Ὀξείᾳ· καὶ ἀνάμνησ(ι)ς (φ. 189β) ‖ τοῦ ἐν Νικαίᾳ μεγίστου θαύματος, ὅτε ὁ Μέγ(ας) Βασίλειος διὰ προσευχῆς τὰς πύλας τῆς καθολικῆς ἐκκλη(σίας) ἀνέῳξε· (καὶ) τοῖς ὀρθοδόξοις παρέθετο αὐτ(ήν)».

κ' «Μη(νὶ) τῷ αὐτῷ κ'. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Εὐθυμίου τοῦ μ(ε)γ(ά)λ(ου)».

Τί κοινόν, Εὐθύμιε, σοὶ καὶ τῷ βίῳ;
πρὸς ἀγγέλους ἄπαιρε[1] τοὺς ξένους βίου[2].
Λῆξε βίου Εὐθύμιος εἰκάδ(ι) ἠυγένειος.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος π(ατ)ὴρ ἡμ(ῶν) καὶ μέγας Εὐθύμιος, ἦν ἐπὶ τῆς βασιλείας Τραϊανοῦ, ἐν Μελιτηνῇ [. . .]
(φ. 190α) Τελ.: [. . .] τὰ κρυπτὰ τῆς αἰσχύνης δηλούσης τοῦ μοναχοῦ· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

«Μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων)· Βάσσου· Εὐσεβίου· Εὐτυχίου· καὶ Βασιλείδου».

Χεῖρας Βάσσου τέμνουσι χεῖρες δημί(ων),
χεῖρες βέβηλοι χεῖρας ἡγιασμένας.

Τμηθεὶς πέλυξιν Εὐσέβιος πᾶν μέλος,
τὴν ὀρθόδοξον πίστιν ἄτμητος μένει.

Εὐτύχιον εἰς μέρη διεῖλον τρία,
Θ(εο)ῦ θεῖα πρόσωπα τιμῶντα[3] τρία.

Ἀπορραγῆναι μὴ θέλων Βασιλείδης
μοίρας ἀθλητ(ῶν), ἐρράγη τὴν γαστέρα.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως· πλούτῳ βρίθοντες [. . .]
Τελ.: [. . .] μαχαίρᾳ ἀναρρήγνυται τὴν γαστέρα (καὶ) οὕτω τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο.

«Μνήμ(η) τοῦ ἁγ(ίου) Εὐγενίου καὶ τῶν σὺν αὐτῷ».

Τὸν Εὐγένιον καὶ συνάθλους τρεῖς ἅμα,
δι' εὐγένειαν ψυχικὴν κτείνει ξίφος.

«Μνήμ(η) τ(ῶν) ἁγ(ίων) μ(αρτύ)ρ(ων)· Ἰννᾶ· Πιννᾶ· (καὶ) Ῥιμμᾶ».

Θάλψις δεχέσθω τοὺς ἀθλητὰς τοῦ κρύους,
Ἰννᾶν, Πιννᾶν, Ῥιμμᾶν τε τοὺς κρυσταλλίνους.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι χώρας τινὸς τῆς κατ' ἄρκτον ὑπάρχοντες, παρὰ τῶν εἰδωλομανούντων βαρβάρων συσχεθέντες [. . .]
(φ. 190β) Τελ.: [. . .] κἀν τούτῳ τὸ τοῦ βίου δέχονται πέρας, τὰς μακαρίας αὐτῶν ψυχὰς παραδόντες εἰς χεῖρας Θ(εο)ῦ.

1. ἄπαρε cod.
2. βίους cod.
3. τιμῶ τὰ cod.

«Μνήμ(η) τοῦ ἁγ(ίου) κ(αὶ) μακαρίου Πέτρ(ου) τοῦ τελώνου».

Καλεῖ σε Πέτρε Χ(ριστὸ)ς ἐκ τελωνίου,
πρὸς ἀρετὴν πρίν, νῦν δὲ πρὸς τρυφ(ὴν) πόλου.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ π(ατ)ρίκιος χρηματίσας, πάσ(ης) τῆς Ἀφρικῆς τὴν οἴκησιν ἐπεπίστευτο [. . .]
Τελ.: [. . .] καὶ κατετέθη ἐν τῇ τοποθεσίᾳ τοῦ Βοός, ἐν τῷ ἰδίῳ οἴκῳ.

κα´ (φ. 191α) «Μη(νὶ) τῷ αὐτῷ κα´. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μαξίμου τοῦ ὁμολογητοῦ».

Ἄχειρ, ἄγλωττος, χεῖρα κ(αὶ) γλῶτταν φύεις,
καὶ χερσὶ Θ(εο)ῦ Μάξιμε ψυχὴν δίδως.
Εἰκάδ(ι) πρώτ(ῃ) πότμος Μαξίμου ὄσσε κάλυψ(εν).

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Κωνστ(αν)τίνου τοῦ ἐπικληθέντος Πωγωνάτου, ὄντος ἀπογόνου Ἡρακλείου [. . .]
(φ. 191β) Τελ.: [. . .] ὁ δὲ νεώτερος Ἀναστάσιος ἔν τινι τῶν κατὰ Θρᾴκην φρουρίων πεμφθείς, τὸν βίον κατέλυσε.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Νεοφύτου».

Τὸν Νεόφυτον ἐκριζοῖ γῆθεν δόρυ,
νεοφύτου κάλλιστον οἷαπερ θάλος.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἦν ἐκ Νικαίας τῆς κατὰ Βιθυνίαν, παῖς εὐσεβῶν καὶ χριστιανῶν γεννητόρων [. . .]
Τελ.: [. . .] ἐπιπεσόντος βαρβάρου τινός, ἀναιρεῖται ξίφει.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ζωσίμου ἐπισκόπ(ου) Συρακούσης τῆς Σικελῶν νήσου».

Μετάστασιν Ζώσιμος εὗρεν ἐκ βίου,
(φ. 192α) ᾧ καὶ πρὸ ταύτης πᾶς μετάστασις βίος.

«Ἡ σύναξις τῆς ἁγί(ας) Εἰρήνης ἐν τῇ ἁγ(ίᾳ) ἐκκλησίᾳ τῇ πρὸς θάλασσαν· (καὶ) τῆς ἁγί(ας) μ(άρτυ)ρος Ἁγνῆς».

Ἀκολουθεῖ συναξάριον τῆς δευτέρας μάρτυρος.

Ἀρχ.: Ἡ ἁγία μάρτυς Ἁγνὴ ὑπῆρχεν ἐκ πόλεως Ῥώμης, γένους λαμπροῦ· αὕτη πρόσφορον ἔχουσα τῷ βίῳ τὸ ὄνομα [. . .]
(φ. 192β) Τελ.: [. . .] ἐν κρυπτῷ λαβόντες τὸ τίμιον αὐτῆς λείψανον, ἐντίμως ἐκήδευσαν δοξάζοντες τὸν Θ(εό)ν.

«Οἱ ἅγιοι τέσσαρες μ(άρτυ)ρ(ες) οἱ ἐν Τύρῳ ξί(φει) τε(λειοῦνται)».

Στερρῶν ἀθλητ(ῶν) τεσσάρων φωνὴ μία,
ἡμῖν τὸ θνήσκειν ἐκ ξίφους εὐθυμία.

«Ἡ ἐν τῷ κ(υρί)ῳ Πάσχ(α) Κυριακὴ τοῦ Ἀσώτου».

Ἄσωτος εἴ τις ὡς ἐγὼ θαρρῶν ἴθι,
θείου γὰρ οἴκτου πᾶσιν ἤνοικται θύρα.

κβ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κβ'. Μνήμ(η) τοῦ ἁγ(ίου) ἀπο(στόλ)ου Τιμοθέου· μαθητοῦ τοῦ ἁγ(ίου) ἀπο(στόλ)ου Παύλου».

Ἔρωτι θείων Τιμόθεος στεμμάτων,
τυθεὶς βάκλοις ἔβαψε γῆν ἐξ αἱμ(ά)τ(ων).

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν ἐκ πόλεως Λύστρων· π(ατ)ρ(ὸ)ς Ἕλληνος καὶ μ(ητ)ρ(ὸ)ς Ἰουδαίας [. . .] (φ. 193α) Τελ.: [. . .] καὶ κατετέθη ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, ἔνθα καὶ ἡ σύναξις αὐτ(οῦ) τελεῖται.

«Μνήμ(η) τοῦ ἁγ(ίου) ἱερομ(άρτυ)ρος Ἀναστασίου τοῦ Πέρσου».

Ἀναστάσιος ἐν τραχήλῳ τὸν βρόχον
ὡς λαμπρὸν ὅρμον ὡραΐζεται φέρων.
Εἰκάδι δευτερίῃ Ἀναστάσιος βρόχον ἔτλη.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Ὁ περίδοξος μάρτυς Ἀναστάσιος ἦν ἐκ Περσίδος· βασιλεύοντος μ(ὲν) Χοσρόου τῶν Περσῶν, Ῥωμαίων δὲ Ἡρακλείου [. . .]
(φ. 193β) Τελ.: [. . .] τελεῖτ(αι) δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρίῳ τῷ ὄντι ἔνδον τοῦ ἁγίου μάρτυρος Φιλήμονος ἐν τῷ Στρατηγίῳ.

«Μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων)· Μανουήλ· Πέτρου· Λέοντος· Σιωνίου· Γαβριήλ· Ἰωάννου· Παρόδου· Λέοντος· (καὶ) τ(ῶν) λοιπ(ῶν), τὸν ἀριθμ(ὸν) τριακόσιοι ἑβδομήκοντα ἑπτά».

Ξίφει Μανουὴλ εἰς μέρη τέμνῃ δύο,
τιμῶν ἀτμήτους οὐσίας Χ(ριστο)ῦ δύο.

Γεώργιον καὶ Πέτρον, οἷς κοινὸν σέβας,
τέμνουσι κοινῇ δεσπότου κοινοῦ χάριν.

Ἄρρηκτον εἶχε τὴν προθυμίαν Λέων,
ῥήσσοντος αὐτοῦ τοῦ ξίφους τὸν αὐχένα.

Δέος ξίφους ταθέντος ἐγγὺς αὐχένων,
μακρὰν Γαβριὴλ καὶ μακρὰν Σιωνίου.

Ὄντως στρατηγοὶ μὴ πτοούμενοι ξίφος,
Ἰωάννης τε καὶ Λέων οἱ γεννάδαι.

Βληθεὶς Πάροδος χειροπληθῶν ἐκ λίθων,
ὁδὸν παρῆλθεν ἡδέως τὴν τοῦ βίου.

Τρεῖς πενταρίθμους εἰκάδας κτεῖναν ξίφος,
συνῆψεν αὐταῖς ἑνδεκαπλῆν[1] ἑπτάδα.

---

1. ἕνδεκα πλὴν cod.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἅγιοι ἐκ διαφόρων τοπαρχι(ῶν) καὶ τόπων ὄντες, τὴν Ἀνδριανούπολιν κατῴκουν [. . .]
(φ. 194α) Τελ.: [. . .] πολλοὺς τῶν χριστιανῶν διὰ ποικίλων κολάσεων τῷ θανάτῳ παρέπεμψ(αν).

κγ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κγ'. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος ἐπισκόπ(ου) Ἀγκύρ(ας)· κ(αὶ) Ἀγαθαγγέλου».

Ἀγαθαγγέλου κ(αὶ) Κλήμεντος αἱμάτων
τὸ τοῦ ξίφους δίψαιμον ἐπλήσθη στόμα.
Εἰκάδι δ' ἐτμήθ(η)τε τρίτ(η), Ἀγαθάγγελε, Κλήμη.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ μακάριος οὗτος καὶ θεσπέσιος Κλήμης, ἐν ὅλῃ σχεδὸν ἀν(θρωπ)ίνῃ ζωῇ [. . .]
(φ. 195α) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ || ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ, ἐν τοῖς Εὐδοξίου ὄντι πέραν· ἐπέκεινα τοῦ Ἀνάπλου· (καὶ) ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης τῆς παλαι(ᾶς) κ(αὶ) νέας.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Εὐσεβίου».

Δεῦρο πρὸς ἡμᾶς, εἰς τὰ τερπνὰ τοῦ πόλου,
Εὐσεβίῳ λέγουσιν οἱ τερπνοὶ νόες.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μαϋσιμᾶ τοῦ Σύρου».

Γλώσσαις λαλῶν πρίν, Μαϋσιμᾶ τ(ῶν) Σύρ(ων),
γλώσσαις λαλεῖς[1] νῦν ἀγγέλων πρὸς ἀγγέλους.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ἐγένετό τις ἀνὴρ ἐν τῇ Κύρῳ Μαϋσιμᾶς τοὔνομα, Σύρος δὲ τὴν φωνὴν [. . .]
Τελ.: [. . .] καὶ καλῶς καὶ ὁσίως τὸν τῆς ζωῆς χρόνον διαβιβάσας, πρὸς Κ(ύριο)ν ἐξεδήμησ(εν).

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Σαλαμάν(η) τοῦ ἡσυχαστοῦ».

Οἴχῃ χαμερποῦς καὶ χαμαιζήλου βίου,
ὑψηλὲ πρᾶξιν (καὶ) λόγον Σαλαμήνη [sic].

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Κώμη τίς ἐστι τοῦ Εὐφράτου ποταμοῦ πρὸς ἑσπέραν· ἐπικειμένη τῇ ὄχθῃ [. . .]
(φ. 195β) Τελ.: [. . .] οὕτως ἐτέλεσε μέχρι τέλους· καὶ ἀπελθὼν πρὸς Κ(ύριο)ν χορεύει αἰώνια.

«Οἱ ἐν τῷ Παρίῳ ἅγιοι β' μάρτυρες, λάκκῳ ἐμβληθέντες, τελειοῦνται».

Ἔνδον βόθρου χωροῦσι μάρτυρες δύο,
θείου πόθου βάλλοντος ἔξω τὸν φόβον.

1. λαλεῖν cod.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τῆς ἁγίας (καὶ) οἰκουμενικῆς ς' συνόδου· τῆς καθελούσ(ης) τοὺς λέγοντας ἓν θέλημα ἔχειν τ(ὸν) Χ(ριστὸ)ν καὶ μετὰ σάρκωσιν· γεγονυίας ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, τοῦ π(ατ)ρ(ὸ)ς Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου· ἐν Κωνσταντινουπόλ(ει)».

Ὑπόστασιν μὲν τοῦ Θεανθρώπου μί(αν),
διττὰς δὲ γνῶθι καὶ θελήσεις καὶ φύσεις.

κδ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κδ'. Μνήμ(η) τῆς ὁσίας μ(ητ)ρ(ὸ)ς ἡμῶν Ξένης».

Ἀποξενοῦται τοῦδε τοῦ βίου Ξένη,
οὗ ζῶσα καὶ πρὶν ὡς ἀληθῶς ἦν ξένη.
Οὐ(ρα)νοῦ ἐς ξενίην Ξένη εἰκάδ(ι) ἦλθε τετάρτῃ.

Ἀκολουθεῖ συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Ἡ μακαρία αὕτη καὶ ἀοίδιμος Ξένη ἐκ τῆς μεγαλοδόξου πόλεως Ῥώμης γέγονε [. . .]
(φ. 196α) Τελ.: [. . .] Εὐσεβία γὰρ ἐκέκλητο· (καὶ) ἔτι λαθεῖν σπουδάζουσα, Ξένην ἑαυτὴν ὠνόμασ(εν).

«Μνήμ(η) τῶν ἁγίων μ(αρτύ)ρ(ων)· Παύλου· Παυσηρίου· καὶ Θεοδοτίωνος».

Παυσήριον καὶ Παῦλον, ἄμφω συγγόνους,
ποτάμιος ῥοῦς καὶ συνάθλους δεικνύει.

Ἰδοὺ τράχηλος· ἐλθέτω δὴ καὶ ξίφος,
Θ(εὸ)ν ποθῶν ἔκραζε Θεοδοτίων.

«Τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων)· Βαβύλα τοῦ ἐν Σικελίᾳ· (καὶ) Τιμοθέου καὶ Ἀγαπίου τῶν μαθητῶν αὐτοῦ».

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Βαβύλ(ας), εὐγενὴς ὢν κατὰ τὸν μέγαν Ἰώβ, ἐκ τῶν ἀφ' ἡλίου ἀνατολῶν γεννᾶτ(αι) [. . .]
(φ. 196β) Τελ.: [. . .] οὓς καὶ λαβόντες πιστοί τινες, ἐν τῇ νήσῳ τῆς Σικελίας ἀξίως ἐκήδευσαν.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μακεδονίου».

Μονῶν ἀπείρων π(ατ)ρικῆς σῆς οὐσίας,
Μακεδόνιον Χ(ριστ)ὲ λαμβάνει μία.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν παλαίστραν εἶχε καὶ στάδιον τὰς τῶν ὀρέων κορυφὰς [. . .]
(φ. 197α) Τελ.: [. . .] (καὶ) τῷ Θ(ε)ῷ γνησίως δουλεύσας ἐπὶ χρόνους ἑβδομήκοντα, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἁγίου ὁσιομ(άρτυ)ρος Ἀναστασίου τοῦ Πέρσου».

Ἀκολουθεῖ σύντομον συναξάριον.

Ἀρχ.: Τοῦ βασιλέως Ἡρακλείου ἀπελθόντος ἐν Περσίδι (καὶ) τοῦ Χοσρόου ἀποθανόντος, μοναχός τις ἐκ τῆς μον(ῆς) τοῦ μάρτυρος [. . .]
Τελ.: [. . .] ἡ δὲ τιμία κεφαλὴ καὶ εἰκὼν τοῦ μάρτυρος προσκυνεῖται παρὰ τῶν πιστῶν ἐν τῇ μεγάλῃ καὶ παλαιᾷ Ῥώμῃ.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Ἑρμογένους καὶ Μάμα· (καὶ) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Φίλωνος, ἐπισκόπ(ου) γενομένου τοῦ Καλπασίου· (καὶ) τοῦ ὁσίου Φιλιππικοῦ πρεσβυτέρου· καὶ τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων) Βαρσίμου (καὶ) τ(ῶν) δύο αὐταδέλ(φων) ξίφει τελειωθέντων».

Τοὺς τρεῖς ἀδελφοὺς θεῖος εἷς συσχ(ὼν) πόθος,
θεῖον ποθεῖν ἔπεισεν ἐκ ξίφους τέλος.

«Ὁ ἅγ(ιος) Ἑλλάδιος ὁ κομενταρήσιος ξί(φει) τε(λειοῦται)».

Ὑπὸ ξίφος θεὶς Ἑλλάδιος αὐχένα,
ἑλληνικῆς ἔπαρσιν ᾔσχυνε πλάνης.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ὅσιος Ζωσιμ(ᾶς) ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Τίς τοὺς μακροὺς σου Ζωσιμᾶ φράσει πόνους,
καὶ τίς θανόντος τῶν πόνων σου τὰ στέφη;

«Καὶ τοῦ ἁγ(ίου) προφήτου προδρόμου κ(αὶ) βαπτιστοῦ Ἰω(άνν)ου πλησίον τοῦ Ταύρου».

κε' «Μη(νὶ) τῷ αὐτ(ῷ) κε'. Μνήμ(η) τοῦ ἐν ἁγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Γρηγ(ο)ρ(ίου) τοῦ Θεολόγ(ου), ἀρχ(ι)επισκόπ(ου) Κωνσταντινουπόλεως».

Θ(εο)ῦ γινώσκειν ὀρθοδόξως οὐσίαν,
χριστιανοῖς λεγᾶτον ἐκ Γρηγορίου.
Εἰκάδ(ι) Γρηγόριος θεορρήμων ἔκθανε πέμπτῃ.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Ὁ μέγας οὗτος Γρηγόριος (καὶ) θεολόγος, αὐτὸς ἐξηγητὴς καὶ διδάσκαλος τοῦ κατ' αὐτὸν γεγένηται βίου [. . .]

(φ. 197β) Τελ.: [. . .] καὶ πανευσεβὴς ἡμ(ῶν) βασιλεὺς κομίσας ἐκ Ναζιανζοῦ τ(ῆς) Καππαδοκῶν χώρας κατέθετο.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Πουπλίου».

Ζωὴν ἔνυλον Πούπλιος καταστρέφει,
καὶ τὴν ἄυλον καὶ νοητὴν λαμβάνει.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἐκ βουλευτικῆς συμμορίας ὡρμᾶτο· πόλεως Ζεύγματος, κειμένης παρὰ τῷ Εὐφράτῃ ποταμῷ [. . .]

(φ. 198α) Τελ.: [. . .] μετὰ τὴν αὐτοῦ τελευτὴν ἦσαν ἀναδεξάμενοι· (καὶ) καλῶς ἀγωνισάμενος, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Μάρη».
Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Μάρης, νέος ὢν καὶ εὐειδὴς καὶ τῷ κόσμῳ ὤν, καλόφωνος ἦν· καὶ πανηγύρεις ἁγίων ἐπιτελῶν [. . .]
(φ. 198β) Τελ.: [. . .] οὕτω καλῶς βιώσας καὶ εἰς οὐ(ρα)νοὺς ἀναπτάς, χορεύει σὺν τοῖς ἁγίοις αἰώνια.

«Ἡ ἁγία Μεδούλη σὺν τῇ συνοδ(είᾳ) αὐτῆς πυρὶ τε(λειοῦται)».

Σεπτὴ Μεδούλη, τοῦ Θ(εο)ῦ δούλη λόγου,
δούλοις Θ(εο)ῦ σύναθλος εἰς πῦρ ὠράθη.

«Τοῦ ἁγ(ίου) προφήτου Ἡσαΐου πλησίον τοῦ ἁγ(ίου) Λαυρεντίου· τοῦ ὁσίου Δημητρίου τοῦ σκευοφύλακος· ὁ ὅσιος Ἀπολλὼς ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Χρηστὸν βιώσας μέχρι καὶ τέλους βίον,
θραύει πονηροῦ πᾶν Ἀπολλὼς τὸ θράσος.

κς´ «Μη(νὶ) τῷ αὐτ(ῷ) κς´. Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ξενοφῶντος· καὶ τῆς συμβίου αὐτ(οῦ) Μαρίας· (καὶ) τ(ῶν) τέκνων αὐτοῦ Ἀρκαδίου καὶ Ἰω(άνν)ου».

Καὶ γῆν λιπόντας τοὺς περὶ Ξενοφῶντα,
ἀβρᾷ ξενίζω τοῦ λόγου πανδαισίᾳ.
Παισὶν ἅμ' ἠδ' ἀλόχῳ Ξενοφ(ῶν) θάν(εν) εἰκάδ(ι) ἕκτῃ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Ὁ ὅσιος Ξενοφῶν ἦν ἐν Κωνσταντινουπόλει· πλουτ(ῶν) μὲν καὶ τὴν ἔξωθεν περιουσίαν [. . .]
Τελ.: [. . .] εὐηρέστησαν δὲ μέχρι τέλους τῷ Θ(ε)ῷ (καὶ) πρὸς αὐτὸν ἐξεδήμησαν.

«Μνήμη τοῦ μεγάλου σεισμοῦ».
Ἀκολουθεῖ σύντομον συναξάριον.

Ἀρχ.: Γενομένου ἐπὶ τὰ τελευταῖα τῆς βασιλείας Θεοδοσίου τοῦ νέου· υἱοῦ Ἀρκαδίου καὶ Εὐδοξίας [. . .] κατέπεσον ἀπὸ τοῦ σεισμοῦ τὰ τείχη τῆς πόλεως [. . .]
Τελ.: [. . .] τοῦ δοξάζειν σὲ τὸν μόνον ἀγαθὸν καὶ φιλάν(θρωπ)ον Θ(εὸ)ν ἡμῶν.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Συμεὼν τοῦ ἐπονομαζομένου παλαιοῦ».

Τὸν χοῦν παλαιὲ Συμεὼν ἀπεξύσω,
ἐχθροῦ παλαιοῦ λεπτύνων εἰς χοῦν κάρ(αν).

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἐκ παιδόθεν [sic] τὸν ἐρημικὸν ἀσπασάμενος βίον [. . .]
(φ. 199α) Τελ.: [. . .] τῆς ἐπιπόνου ζωῆς τὸ τέλος ἔλαβε, παράδοξα θαύματα ἐκτελέσας πρότερον.

«Μνήμ(η) τῶν ἁγ(ίων) μαρτύρων· Ἀνανίου πρεσβυτέρου· (καὶ) Πέτρου κλειδοφύλακος· καὶ τῶν σὺν αὐτοῖς ἑπτὰ στρατιωτῶν».

Πέτρος σὺν ἑπτὰ τὴν θάλασσαν εἰσέδυ,
οἷς Ἀνανίας ἡδέως συνεισέδυ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Μαξιμίνου ἡγεμόνος ἐν Φοινίκῃ [. . .]
Τελ.: [. . .] παραδόξως ἐκ χαλεπωτάτ(ων) διασωθεὶς κολάσε(ων).

«Ὁ ὅσιος Ἀμμωνᾶς ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Ζωῆς Ἀμμωνᾶς νῆμα πληρώσας ἅπ(αν),
ζωὴν ἐφεῦρεν οὔ ποτε πληρουμένην.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ὅσιος Γαβριὴλ ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Σὺν τῷ Γαβριήλ, τῶν νόων πρωτοστάτῃ,
καὶ Γαβριὴλ ἵστησι Χ(ριστὸ)ς τὸν νέον.

«Οἱ ἅγ(ιοι) μ(άρτυ)ρ(ες) οἱ ἐν Φρυγίᾳ τυπτόμ(εν)οι τελειοῦντ(αι)».

Βάκλοις ἀθληταὶ τραυματισθ(έν)τ(ες) δύο,
στεφθέντες εὗρον τὴν συνούλωσ(ιν) τάχει.

κζʹ «Μη(νὶ) τῷ αὐτῷ κζʹ. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰω(άνν)ου τοῦ Χρυσοστόμου ἀρχ(ι)επισκόπ(ου) Κωνσταντινουπόλεως».

Νεκρὸς καταίρεις Ἰω(άνν)η τῷ θρόνῳ,
ἀλλ' ἐν Θ(ε)ῷ ζῶν πᾶσιν εἰρήνην λέγεις.
Ἄπνουν ἑβδομάτ(ῃ) κόμισ(αν) δέμ(ας) εἰκάδ(ι) χρυσοῦν.

Ἀκολουθεῖ (φφ. 199α - 201β) συναξάριον τοῦ ἁγίου (περὶ τῆς ἀνακομιδῆς τῶν λειψάνων του καὶ περὶ τῆς ἐξορίας του).

Ἀρχ.: Ἡ ἀνακομιδὴ τοῦ τρισμάκαρος καὶ τρισολβίου π(ατ)ρ(ὸ)ς ἡμῶν καὶ φωστῆρος τοῦ Χρυσοστόμου γέγονεν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ [. . .]
(φ. 201β) Τελ.: [. . .] καὶ ὑπὲρ ἡμῶν μνείαν ἔχε πρὸς τὸν Θ(εό)ν· καὶ ἀντιγράψαι ἡμῖν παρακλήθητι.

«Ἡ ἁγ(ία) Μαρκιανὴ κ(αὶ) βασίλισσα ἐν εἰρή(νῃ) τε(λειοῦται)».

Τὴν βασίλισσαν Μαρκιανὴν ἐκ βίου
Χ(ριστὸ)ς βασιλεὺς ἐξάγει βασιλέων.

«Ὁ ὅσιος Κλαυδῖνος ἐν εἰρήνῃ τε(λειοῦται)».

Ψυχῆς ἰδὼν σῆς κάλλος ἐξηρημένον,
ὁ ψυχεραστὴς λαμβάνει σε Κλαυδῖνε.

«Ὁ ὅσιος Πέτρος ὁ Αἰγύπτιος ἐν εἰρήνῃ τε(ελειοῦται)».

Ὡς ὥριμός τις σῖτος ἐκ γήρως Πέτρε,
οἷον ταμείῳ συγκομίζῃ τῷ τάφῳ.

«Ἡ ἐν τῷ κυρίῳ Πάσχ(α) κατὰ τὸ Σάββατον τῆς Ἀποκρέω μνήμ(η) τῶν κεκοιμημ(ένων)».

Ἀμνημόνησον πταισμ(ά)τ(ων) νεκροῖς λόγε,
τὰ χρηστὰ νεκρὰ σπλάγχνα σου μὴ δεικνύ(ων).

κη' «Μη(νὶ) τῷ αὐτ(ῷ) κη'. Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἐφραὶμ τοῦ Σύρου».

Ἤκουσε γλῶτταν ψαλμικῶς ἣν οὐκ ἔγνω,
Ἐφραὶμ ἄνω λαλοῦσαν, ὁ γλῶσσαν Σύρος.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος γέγονεν ἐξ Ἀνατολῶν· Σύρος τὸ γένος· ἐκ προγόνων τὴν εὐσέβειαν διδαχθεὶς [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας Ἀκυλίνης, ἐν τῇ Φιλοξένῳ πλησίον τοῦ Φόρου.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Παλλαδίου».

Κρείττων ὑπάρξας σαρκικ(ῶν) σκιρτημ(ά)τ(ων),
σκιρτᾷ παρ' αὐτῷ Παλλάδιος τῷ πόλῳ.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος ἐν ὄρει τινὶ οἰκίσκον βραχὺν δειμάμενος [. . .]
(φ. 202α) Τελ.: [. . .] εἰς τὴν τῶν ἐντυγχανόντων ὠφέλειαν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰακώβου τοῦ ἀσκητοῦ».

Ἀπῆλθε σαρκὸς ὥσπερ ἔκ τινος πάγ(ης),
ὁ σαρκὸς Ἰάκωβος οὐχ ἁλοὺς πάγαις.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος τοῖς βιοτικοῖς πᾶσιν ἀποταξάμενος, ᾤκησεν ἔν τινι σπηλαίῳ [. . .]
(φ. 202β) Τελ.: [. . .] (καὶ) οὕτως ἐν πολιτείᾳ καλῇ, τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρέθετο.

«Ἡ ἁγ(ία) μ(ήτ)ηρ καὶ θυγάτηρ ξίφει τελειοῦντ(αι)».

Τῇ παιδὶ συγκλίνασα μ(ήτ)ηρ τὴν κάραν,
ξίφει συνεξέπνευσε τῷ θυγατρίῳ.

«Ἡ ἁγία Χάρις τμηθεῖσα τοὺς πόδας τε(λειοῦται)».

Πόδας Χάρις τμηθεῖσα πρὸς Θ(εὸ)ν τρέχει,
τοὺς ψυχικοὺς γὰρ οὐ συνετμήθ(η) πόδας.

«Ἡ ἐν τῷ κυρίῳ Πάσχ(α) Κυριακὴ τῆς Ἀποκρέω, ὅτε μνήμην ἄγομεν τῆς δευτέρ(ας) παρουσίας Χ(ριστο)ῦ τοῦ Θ(εο)ῦ ἡμῶν».

κθ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κθ'. Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἁγ(ίου) ἱερομ(άρτυ)ρος Ἰγνατίου τοῦ θεοφόρου».

Χάρις λέουσιν Ἰγνάτιε παμβόροις,
σοῦ σώματος λιποῦσι καὶ πιστοῖς μέρος.
Εἰνάτῃ Ἰγνατίοιο ἐπάνοδος εἰκάδ(ι) τύχθη.

Ἀκολουθεῖ σύντομον συναξάριον.

Ἀρχ.: Οὗτος διάδοχος τῶν ἁγίων ἀποστόλων γενόμενος [. . .]
Τελ.: [. . .] οὗ δὴ χάριν ἑορτ(ὴν) χαρμόσυνον ἡ ἐκκλησία πανηγυρίζει.

(φ. 203α) «Μνήμ(η) τῶν ἁγ(ίων) ἑπτὰ μ(αρτύ)ρ(ων) τῶν ἐν Σαμοσάτῳ τελειωθέντ(ων)· Φιλοθέου· Ὑπερεχίου· Ἀβίβου· Ἰουλιανοῦ· Ῥωμανοῦ· Ἰακώβου· καὶ Παρηγορίου».

Ὑπὲρ προσηλωθέντος ἐν στ(αυ)ρῷ λόγου,
ἑπτὰ προσηλώθησαν ἀθλητ(ῶν) κάραι.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι τῷ Χ(ριστ)ῷ στρατευσάμενοι καὶ τ(ὴν) πλάνην στηλιτεύσαντες [. . .]
Τελ.: [. . .] καὶ τὰς κάρας ἥλοις προσηλωθέντες, τὰς ψυχὰς τῷ Κ(υρί)ῳ παρέδωκαν.

«Μνήμ(η) τ(ῶν) ἁγ(ίων) μ(αρτύ)ρ(ων)· Σιλουανοῦ ἐπισκόπ(ου)· Λουκᾶ διακόνου· καὶ Μωκίου ἀναγνώστου».

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τοῦ Νουμεριανοῦ βασιλεύοντος, διωγμὸς ἦν κατὰ τῶν χριστιανῶν [. . .]
Τελ.: [. . .] ἐκήδευσαν αὐτὰ ἐπιμελῶς εὐχαριστοῦντες τῷ Θ(ε)ῷ.

«Μνήμ(η) τῶν ἁγίων μ(αρτύ)ρ(ων) Σαρβήλου (καὶ) Βεβαί(ας) τ(ῆς) ἀδελφῆς αὐτ(οῦ) τῶν ἐν Ἐδέσσῃ [. . .]».

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ Τραϊανοῦ τοῦ βασιλ(έως)· ἦν δὲ ὁ ἅγιος Σάρβηλος τῆς δαιμονικῆς ἀπάτης καὶ τῶν ἀκαθάρτ(ων) θυσιῶν ἱερεὺς [. . .]
(φ. 203β) Τελ.: [. . .] συναπετμήθη καὶ ἡ ἀδελφὴ αὐτοῦ, τοῦτο τοῦ ἡγεμόνος προστάξαντος.

«Μνήμ(η) τοῦ ἁγ(ίου) Βαρσιμαίου ἐπισκόπου Ἐδέσσης».

Δοὺς τὴν βαρεῖαν σάρκα γῇ Βαρσιμαῖος,
σύνεστι βαστάσασιν ἡμέρας βάρος.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος, ὡς γέγραπται, ψυχικῆς σ(ωτη)ρί(ας) αἴτιος τῷ Σαρβήλῳ γεγονὼς [. . .]
Τελ.: [. . .] καὶ τῷ Θ(ε)ῷ εὐαρεστήσας, πρὸς αὐτὸν ἐξεδήμησ(εν).

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀφραάτου».

Ὁ σάρκα καὶ ζῶν νεκρὸς ὢν Ἀφραάτης,
αἰωνίως ζῇ καὶ νεκρὸς φανεὶς ἄπνους.

λ' «Μη(νὶ) τῷ αὐτ(ῷ) λ'. Μνήμ(η) τοῦ ἁγ(ίου) ἱερομ(άρτυ)ρος Ἱππολύτου πάπα Ῥώμης· καὶ τῶν σὺν αὐτῷ· Κενσουρίνου· Σαβαΐνου· Χρυσῆς (καὶ) ἑτέρ(ων)».

Τόλμῃ θάλασσαν Ἱππόλυτος εἰσδύνει,
οἷα κροαίνων ἵππος ἐν λείῳ πέδῳ.
Ἱππόλυτον πόντου τριακοστῇ κτάνε ῥεῦμα.

Τείνων τράχηλον τῷ ξίφει Κενσουρῖνος,
ἦν οἷον ξυρῷ τοῖς συνάθλοις ἀκόνη.

Σπλάγχνα φλέγουσι Σαβαΐνου λαμπάσι
τὰ παμπόνηρα τέκνα τῆς ἀσπλαγχνί(ας).

Χρυσῇ βυθῷ βληθεῖσα, παστῷ τοῦ πόλου·
νύμφη πρόσεισι προσφάτως λελουμ(έν)η.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἄρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλεί(ας) Κλαυδίου· ἡγεμονεύοντος Βικαρίου [. . .] (φ. 204α) Τελ.: [. . .] κατὰ τοῦ βυθοῦ τῆς θαλάσσης ἀκοντίζεται· (καὶ) οὕτω πληροῖ τὸ μαρτύριον.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Θεοφίλου τοῦ νέου».

Ὁ Θεόφιλος τὴν φίλην τμᾶται κάραν,
θεοὺς φιλῆσαι μὴ θελήσας βαρβάρων.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἄρχ.: Οὗτος γέγονεν ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης τῶν ὀρθοδόξων βασιλέ(ων)· ἐν αὐτῇ τῇ μεγάλῃ πόλει φὺς καὶ ἀνατραφεὶς [. . .]
Τελ.: [. . .] θυσίας ποτὲ μυσαρᾶς [. . .] κοινωνῆσ(αι) μὴ πεισθείς, τὴν κεφαλὴν ἀπετμήθ(η).

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ζήνωνος.

(φ. 204β) Ζήνων τὰ τερπνὰ τῆς Ἐδὲμ ζητ(ῶν) μόνα,
εἰς τέρψιν εἶχε τὴν λύσιν τοῦ σαρκίου.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἄρχ.: Οὗτος ὁ μακάριος μέσον Καππαδοκίας καὶ Πόντου κατοικῶν, ἀπήλαυσε τῶν τοῦ Μεγάλου Βασιλείου ναμάτ(ων) [. . .]
Τελ.: [. . .] καὶ δοὺς αὐτῷ ἀσπασμόν, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Μνήμ(η) τῆς ὑπ(ερα)γ(ίας) Θ(εοτό)κου πέραν ἐν Γεωργίᾳ».

λα' «Μη(νὶ) τῷ αὐτ(ῷ) λα'. Μνήμ(η) τῶν ἁγ(ίων) (καὶ) θαυματουργ(ῶν) ἀναργύρων Κύρου κ(αὶ) Ἰω(άννου)· (καὶ) τῆς ἁγίας Ἀθανασίας· (καὶ) τ(ῶν) τριῶν αὐτ(ῆς) θυγατέρων (καὶ) παρθένων· Θεοδότιδος· Θεοκτίστης· (καὶ) Εὐδοξίας».

Κύρῳ συναθλ(ῶν) Ἰωάννης πρὸς ξίφος,
συνθαυματουργεῖ καὶ μετὰ ξίφος Κύρῳ.
(φ. 205α) Κῦρον Ἰωάννην τε τάμον πρώτ(ῃ) τριακοστῇ.

Μ(ήτ)ηρ ἀρίστη καὶ τριὰς θυγατέρων,
πόθῳ π(ατ)ρ(ὸ)ς θνήσκουσι τοῦ πάντ(ων) ξίφει.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἄρχ.: Οὗτοι οἱ ἅγιοι μάρτυρες Κῦρος καὶ Ἰωάννης ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως [. . .]
Τελ.: [. . .] ξίφει τὰς κεφαλὰς ἀπετμήθησ(αν), ἅμα ταῖς ῥηθείσαις ἁγίαις γυναιξί· τελεῖται δὲ ἡ αὐτ(ῶν) σύναξις ἐν τῷ μαρτυρίῳ αὐτ(ῶν) τῷ ὄντι ἐν τοῖς Φορακίου.

«Μνήμ(η) τῶν ἁγίων μαρτύρων· Οὐϊκτωρίνου· Οὐΐκτωρος· Νικηφόρου· Κλαυδίου· Διοδώρου· Σαραπίωνος καὶ Παπίου τῶν ἐν Κορίνθῳ».

Ὄλμῳ μέλη τρεῖς συντριβέντες γεννάδ(αι),
ὤφθησαν οἱ τρεῖς σώματος Χ(ριστο)ῦ μέλη.

Καλὴν ἀπαρχὴν Κλαύδιος τῷ Κ(υρί)ῳ
ἐκ σώματος δίδωσι χεῖρας καὶ πόδ(ας).

Ἐν τῇ καμίνῳ καὶ τὸ τοῦ πόνου στέφος,
εἴσελθε Διόδωρε μάρτυς καὶ στέφου.

Εἰ τοῦ[1] ξίφους στέρξω σε τῷ φόβῳ, βίε,
καὶ πῶς Θ(εὸ)ς στέρξει με τὸν Σαραπῖνον;

Λοῦσαι θαλάσσης πικρὰ λουτρὰ Παπία,
καὶ τοῦ γλυκασμοῦ τῆς ἄνω τρυφ(ῆς) τύχ(ης).

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι ἐπὶ Δεκίου τοῦ βασιλέως διὰ τὴν εἰς Χ(ριστὸ)ν ὁμολογίαν συλληφθέντες [. . .] (φ. 205β) Τελ.: [. . .] ὁ δὲ Παπίας καταποντισθείς, διήνυσε τὸ μαρτύριον.

«Μνήμ(η) τῆς ἁγίας μ(άρτυ)ρος Τρυφαίνης».

Ταῦρος Τρύφαινα σοῦ τρυφᾷ τὸ σαρκίον,
καὶ πρὸς τρυφὰς πέμπει σε τ(ὰς) ἀκηράτους.

Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐκ πόλεως Κυζίκου τῆς ἐν τῷ Ἑλλησπόντῳ κειμένης [. . .]
Τελ.: [. . .) εὐθὺς τοῖς νεογνοῖς τὸ γάλα προχέουσιν.

ΣΤ' «Μὴν Φεβρουάριος· ἔχ(ων) ἡμέρ(ας) κη', τ(ὴν) δὲ βίσεκτον ἡμέρ(ας) κθ'· ἡ ἡμέρ(α) ἔχει ὥρ(ας) ια' (καὶ) ἡ νὺξ ὥρ(ας) ιγ'».

α' «Εἰς τὴν α'. Μνήμη τοῦ ἁγίου μ(ε)γ(α)λ(ο)μ(άρτυ)ρ(ος) Τρύφωνος».

Σὺ δὲ Τρύφων τί; τὸ ξίφος θνήσκω φθάσ(ας),
καιρὸς δὲ τίς[2] σοι τοῦ τέλους; νουμηνία.
Ἐν Φεβρουαρίοιο[3] Τρύφ(ων) πρὸ τομ(ῆς) θάνε πρώτ(η).

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐκ Λαμψάκου τῆς κώμης τῶν Φρυγῶν ἐπαρχίας· ἐπὶ τῆς βασιλείας Γορδιανοῦ [. . .]
(φ. 206α) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρίῳ αὐτοῦ τῷ ὄντι ἔνδο(ν) τοῦ σεπτοῦ ἀποστολείου Ἰω(άννου) τοῦ Θεολόγου· πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Πέτρου τοῦ ἐν Γαλατίᾳ».

1. Εἰ τοῦ: εἶτα cod.
2. τί cod.
3. φευρουαρίοις cod.

᾿Ακολουθεῖ συναξάριον τοῦ ὁσίου.

῎Αρχ.: Ὃς παρὰ Γαλάταις πρὸς τῇ ᾿Αγκύρᾳ τραφείς, ἐν ἑπτὰ μ(ὲν) ἔτεσι τοῖς γονεῦσι συνὼν [. . .]
(φ. 206β) Τελ.: [. . .] ἐν εἰρήνῃ τὸ πν(εῦμ)α τῷ Κ(υρί)ῳ παρέθετο, τὰ τῶν πόνων ἔπαθλα κομισάμενος.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμῶν Β(εν)διμιανοῦ».

Βενδιμιανὸς δένδρον ἀρετῆς μέγα,
φυτευθὲν εἰς γῆν (καὶ) μεταχθὲν εἰς πόλο(ν).

᾿Ακολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

῎Αρχ.: Οὗτος μαθητὴς γέγονε τοῦ ἁγίου Αὐξεντίου· καὶ μετὰ τὴν ἐκείνου τελευτήν, ἐν ῥαγάδᾳ πέτρ(ας) ὑποδὺς [. . .]
Τελ.: [. . .] τὸ γόνυ προσερείσας τῇ γῇ, τῷ Θ(ε)ῷ τὸ πν(εῦμ)α παρέθετο.

«Ὁ ἅγ(ιος) Τιμόθεος ἐν εἰρή(νῃ) τελειοῦται».

Τιμόθεος μετέσχε τιμῆς τῆς ἄνω,
μὴ προκρίνας τι τῆς Θ(εο)ῦ τιμῆς κάτω.

«Ὁ ἅγιος Θεΐων μ(ε)τὰ δύο παίδ(ων) ξίφει τ(ε)λ(ειοῦται)».

Θνήσκουσι παισὶν εὐπροθύμως[1] ἐκ ξίφους,
ὅλῃ Θεΐων εἵπετο προθυμίᾳ.

«Ὁ ἅγ(ιος) Καρίων τὴν γλῶτταν ἐκτμηθ(εὶ)ς τ(ε)λ(ειοῦται)».

Φωνῆς στερήσει γλωττότμητος Καρί(ων)
γλωσσῶν πλάνων ἔπαυσ(εν) ὑθλοφωνί(αν).

«Μνήμ(η) τ(ῆς) ἁγ(ίας) μάρτ(υ)ρο(ς) Περπετούας (καὶ) τῶν σὺν αὐτ(ῇ)· Σατύρου· Ῥευκάτου· Σατορνίλου· Σεκούνδου· καὶ Φιλικητάτης».

Τὴν τῶν σφαγέντων Περπετούα π(εν)τάδα
ἤμειψε συσφαγεῖσα πρὸς τὴν ἑξάδα.

᾿Ακολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

῎Αρχ.: Ἡ ἁγία μάρτυς Περπετούα ἦν ἐκ πόλεως Θουβριτανῶν τῆς ᾿Αφρικῆς [. . .]
Τελ.: [. . .] εἶτα μετὰ τῶν λοιπῶν ἁγίων ὑπὸ τοῦ ὄχλου μαχαίραις ἀναιροῦνται.

β′ «Μη(νὶ) τῷ αὐτ(ῷ) βα ἡμέρ(ᾳ). Ἡ Ὑπαπαντὴ τοῦ Κ(υρίο)υ ἡμ(ῶν) ᾿Ι(ησο)ῦ Χ(ριστο)ῦ, ὅτε ἐδέξατο αὐτ(ὸν) εἰς τὰς ἀγκάλας αὐτ(οῦ) ὁ δίκαιος Συμεών».

Κόλπους π(ατ)ρ(ὸ)ς τυποῦσι τοῦ σοῦ Χ(ριστ)έ μου,
τοῦ Συμεὼν αἱ χεῖρες αἵ φέρουσί σε.
(φ. 207α) ᾿Εδέξατο δευτερίῃ Χ(ριστὸ)ν Συμεὼν παρὰ νηῷ.

1. εὐπροθύμους cod.

Ἀκολουθεῖ συναξάριον τῆς ἑορτῆς.

Ἀρχ.: Τεσσαράκοντα ἡμερῶν διελθουσῶν μετὰ τὴν σ(ωτή)ριον τοῦ [. . .] Χ(ριστο)ῦ ἐναν(θρώπ)ησιν [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ὑπεραγί(ας) Θ(εοτό)κου ἐν ταῖς Βλαχέρναις.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρ(ος) Ἀγαθοδώρ(ου)».

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος νέος ὤν, προσήχθη τῷ ἄρχοντι Τυανέων· καὶ τὸν Χ(ριστὸ)ν ὁμολογήσας ξέεται [. . .]
Τελ.: [. . .] διὰ τῶν μηνίσκων δέχεται· καὶ οὕτω τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρατίθεται.

γ' «Τῷ αὐτῷ μ(η)ν(ὶ) γ'. Μνήμ(η) τοῦ ἁγίου καὶ δικαίου Συμεὼν τοῦ θεοδόχου· (καὶ) Ἄνν(ης) τῆς προφήτ(ι)δ(ος)».

Ἄγγελλε[1] νεκροῖς, πρέσβυ, ὡς Θ(εὸ)ς λόγος,
ἄν(θρωπ)ος ὀφθείς, μέχρι καὶ τούτων φθάσει.
Τῇ τριτάτῃ δεσμοῖο βίοιο λύθης, Συμεώνης[2].

Ἀκολουθεῖ συναξάριον τῶν ἁγίων.

Ἀρχ.: Σήμερον ἄγεται, ὡς ἐν τῷ παρόντι βίῳ, τὴν παρατεταμένην ζωὴν δεξάμ(εν)ος [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου, τῷ ὄντι πλησίον τῆς μεγάλης ἐκκλη(σίας).

«Τῇ αὐτ(ῇ) ἡμέρᾳ μνήμη τῶν ἁγί(ων) μ(αρτύ)ρ(ων) Ἀδριανοῦ[3] καὶ Εὐβούλου[4]».

Ἀδριανὸν[5] χαίροντα τμηθῆναι ξίφει,
χεὶρ ἡ φόνοις χαίρουσα τέμνει δημίου.

(φ. 207β) Ξίφει θανὼν Εὔβουλε χάριν Κ(υρίο)υ,
βουλὴν ἐπέγνως ὡς ἀρεστὴν Κ(υρί)ῳ.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι τὸ γένος εἷλκον ἀπὸ τῆς Βανέας· πόθῳ τῷ πρὸς τοὺς ὁμολογητὰς τοῦ Χ(ριστο)ῦ ἑλκόμενοι [...]
Τελ.: [...] καὶ ἴσα τῷ προτέρῳ παθών, ὕστατος τοὺς ἄθλους ἐπεσφραγίσατο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρ(ος) Βλασίου τοῦ βουκόλου».

Βοῶν ἐπαύλεις Βλάσιον εἶχον πάλαι,
αὐλαὶ δὲ νῦν ἔχουσιν αὐτὸν Κ(υρίο)υ.

---

1. ἄγγελε cod.
2. ἡ τριτάτη δεσμοὶ ὁ βίοι λύθησ συμεώνησ cod.
3. ἀνδριανοῦ cod.
4. ἐμβούλου cod.
5. ἀνδριανὸν cod.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἐκ Καισαρείας τῆς Καππαδοκίας ἕλκων τὸ γένος, γονέ(ων) πλουσί(ων) [. . .] (φ. 208α) Τελ.: [. . .] (καὶ) ἡ αὐτοῦ ῥάβδος παρὰ τῷ θυσιαστηρίῳ βλαστήσασα καὶ δενδρωθεῖσα, τὸ θυσιαστήριον[1] κατεσκίασεν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) προφήτου Ἀζαρίου υἱοῦ Ἀδδώ, ἐν εἰρή(νῃ) τελειωθέντο(ς)».

Χρησμοὺς δίδοντος πρὶν θανεῖν Ἀζαρίου,
σιγᾷ προφητεύουσα λοξὰ Πυθία.

Ἀκολουθεῖ συντομώτατον συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἦν υἱὸς Ἀδδώ, ἐκ γῆς Συμβαθὰ [. . .]
Τελ.: [. . .] καὶ θανὼν ἐτάφη ἐν τῷ ἀγρῷ αὐτοῦ.

«Οἱ ἅγ(ιοι) Παῦλος καὶ Σίμων ξί(φει) τε(λειοῦνται)».

Καὶ Παῦλον ὧδε (καὶ) Σίμωνα γραπτέον,
μὴ καὶ λάθωσ(ιν) ἐκκοπέντες τὰς κάρ(ας).

«Ὁ ὅσ(ι)ος Κλαύδιος ἐν εἰρή(νῃ) τελειοῦται».

Ἔχαιρεν εὑρὼν Κλαύδιος βίου τέλος,
ὡς εἴ τις εὕροι ψαλμικῶς πολλὰ σκῦλα.

«Ἡ ἐν τῷ κ(υρί)ῳ Πάσχα, Σα(ββάτῳ) τῆς Ἀπόκρ(εω), ὅταν μνείαν ἄγωμ(εν) τ(ῶν) ψυχ(ῶν)».

Ψυχαῖς δικαίων ὧν ἀεὶ μνήμ(η) μένει,
χοὰς μενούσας προσκομίζω τοὺς λόγους.

δ' «Μη(νὶ) τῷ αὐτ(ῷ) δ'. Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἰσιδώρου τοῦ Πηλουσιώτου».

Πηλουσιῶτα χαῖρε, χαῖρε πολλά μοι,
τὸν πηλὸν ἐκδὺς καὶ χαρ(ᾶς) τυχ(ὼν) ξέν(ης).
Ἐν δ' Ἰσίδωρον ἔθεντο τετάρτῃ σήμ(α)τ(ι) λυγρῷ.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὃς Αἰγύπτιος ὑπάρχω(ν) τὸ γένος, υἱὸς εὐγενῶν καὶ θεοφιλ(ῶν) ἐγνωρίζετο· συγγενὴς μὲν ὢν Θεοφίλου καὶ Κυρίλλου τῶν τῆς ἐκκλησίας Ἀλεξανδρέων ἐπισκόπ(ων) [. . .] (φ. 208α) Τελ.: [. . .] οὕτω γοῦν ἄριστα βιώσας καὶ κατὰ Θ(εὸ)ν πολιτευσάμενος, ἐν γήρᾳ βαθεῖ καταλύει τὸν βίον.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Νικολάου ὁμολογητοῦ τοῦ Στουδίτου».

Ἔδοξε τῷ στήσαντι μέτρα τῷ βίῳ[2],
καὶ Νικόλαον ἐκμετρῆσαι τὸν βίον.

1. τὸ θυσιαστηρίῳ cod.
2. τὸν βίο(ν) cod.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος ἔφυ μὲν τῆς τ(ῶν) Κρητῶν[1] νήσου· τὸν συγγενέα δὲ αὐτοῦ Θεοφάνην βουλόμενο(ς) θεάσασθαι, τὴν Κωνσταντινούπολιν καταλαμβάνει [. . .]
(φ. 209α) Τελ.: [. . .] ἑβδομηκοστὸν πέμπτον χρόνον τελέσας, ἐν εἰρήνῃ ἀνεπαύσατο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) ἱερομ(άρτυ)ρος Ἀβραμίου ἐπισκόπου Ἀρβὴλ τῆς Περσίδος».

Καὶ τοῦτο φρικτὸν τοῖς ἀθλητ(αῖς) Κ(υρίο)υ,
ἔφασκε δεικνὺς Ἀβράμιος τὸ ξίφο(ς)·
οὐ δειλιῶ, τεμνέσθω γὰρ ἡ κεφαλή μου.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Πέμπτῳ ἔτει τοῦ ἐν Περσίδι κατὰ τῶν χριστιανῶν ἀθέου καὶ παρανόμου διωγμοῦ [. . .]
Τελ.: [. . .] (καὶ) ἐτελειώθη ὁ ἅγιος Ἀβράμιος ἐν κώμῃ λεγομένῃ Θελμὰν τῇ διὰ τοῦ ξίφους ἐκτομῇ.

(φ. 209β) «Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἰω(άνν)ου τοῦ ἐν Εἰρηνοπόλει· ἑνὸς τῶν ἁγί(ων) τιη΄ π(ατέ)ρων τῶν ἐν Νικαίᾳ· (καὶ) μνήμ(η) τοῦ ἁγ(ίου) μάρτυρος Θεοκτίστου».

Θείοις σκεπασθεὶς πίστε(ως) θείοις ὅπλ(οις),
γυμνοῖ τράχηλον Θεόκτιστο(ς) τῷ ξίφει.

Ὁ ὅσιος Ἰάσιμος ὁ θαυματουργὸ(ς) ἐν εἰρήνῃ τελειοῦται».

Ἀλλ' Ἰασίμου κ(αὶ) μόνη κωφὴ κόνις,
νέμει νοσοῦσι τὴν ἰάσιμον χάριν.

«Ἡ ἐν τῷ κυρίῳ Πάσχα Κυριακὴ τ(ῆς) Τυροφάγου, ὅτε μνήμ(ην) ποιούμεθα τῆς ἐξορίας τ(ῶν) πρωτοπλάστ(ων)».

Κόσμος γενάρχαις πικρὰ συνθρηνησάτω,
βρώσει γλυκείᾳ συμπεσὼν πεπτωκόσι.

ε΄ «Μη(νὶ) τῷ αὐτ(ῷ) ε΄. Μνήμ(η) τῆς ἁγ(ίας) μ(άρτυ)ρος Ἀγάθης».

Χαίρω σκότει δοθεῖσα φρουρ(ᾶς) Ἀγάθη,
μισοῦσα (καὶ) φῶς εἰ πλάν(ων) ὄψεις βλέπω.
Πέμπτῃ ἐν φυλακῇ Ἀγάθη θάν(εν) εἶδος ἀρίστη.

Ἀκολουθεῖ συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Αὕτη ἦν ἐκ πόλεως Πανόρμου τ(ῆς) κατὰ Σικελίαν· ὥρᾳ σώματο(ς) καὶ ἀφθορίᾳ καὶ κάλλει ψυχῆς διαλάμπουσα [. . .]
Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ [γρ. αὐτῆς] σύναξις ἐν τῷ μαρτυρίῳ αὐτῆς τῷ ὄντι ἐν τῷ Τρικόγχῳ.

---

1. κριτῶν cod.

«Τῇ αὐτ(ῇ) ἡμέρᾳ τῆς ἁγ(ίας) μ(άρτυ)ρος Θεοδούλης».

Σύνδουλον οὐκ ἔφριττε πῦρ Θεοδούλη,
Θ(ε)ῷ τιθεῖσα δουλικῶς τὰς ἐλπίδας.

Ἀκολουθεῖ (φφ. 209β - 211α) συναξάριον τῆς μάρτυρος.

Ἀρχ.: Ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, ἀπεστάλη ἐν Ἀναζαρβῷ [γρ. Ἀναβαρζῷ] τῇ πόλει Πελάγιός τις [. . .]
(φ. 211α) Τελ.: [. . .] καμίνου μεγάλης ἀναφθείσης, καὶ ἐν αὐτῇ βληθεῖσα μετὰ Εὐαγρίου καὶ Μακαρίου καὶ ἑτέρ(ων) οὐκ ὀλίγων, τὸ μακάριον τέλος ἐδέξαντο.

«Ἡ ἐν τῷ κυρίῳ Πάσχ(α) ἀρχὴ τῆς μ' [=Τεσσαρακοστῆς), ἤτοι τῇ β' [=Δευτέρᾳ] τῆς πρώτ(ης) ἑβδομάδ(ος)».

Ἄγουσιν ἀρχὴν Χ(ριστ)ὲ νηστείας δρόμου,
ὦτα κλίνοις σὰ τοῖς κλίνουσί σοι γόνυ.

ς' «Μη(νὶ) τῷ αὐτ(ῷ) ς'. Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμῶν Βουκόλου ἐπισκόπου Σμύρνης».

Σμύρνης ποιμὴν Βουκόλο(ς) θυηπόλος[1],
ἄγρυπνός ἐστι (καὶ) θανὼν ποίμνης φύλαξ.
Ἀγλαὸν ἠελίοιο φάος λίπε Βουκόλο(ς) ἕκτῃ.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἐκ νεαρᾶς ἡλικίας ἑαυτὸν καθαγνίσας, δοχεῖον γέγονε τοῦ ἁγίου πν(εύματο)ς [. . .]
(φ. 211β) Τελ.: [. . .] φυτὸν ἀνατεῖλαι ὁ Θ(εὸ)ς ἐποίησε· παρέχων ἰάσεις μέχρι τῆς σήμερον.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρ(ος) Ἰουλιανοῦ».

Χ(ριστὸ)ς τέτρηται χεῖρας ἥλοις (καὶ) πόδας,
Ἰουλιανὸς προστίθησι καὶ κάραν.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἐξ Ἐμέσης τῆς πόλεως ἐν ἀκμῇ τῆς ἡλικίας τὰ πρὸς Θ(εὸ)ν εὐσεβῶν [. . .]
Τελ.: [. . .] μετὰ τῶν ἥλων προσκλιθείς, τῷ Θ(ε)ῷ τὸ πν(εῦμ)α παρέθετο.

«Μνήμ(η) τ(ῶν) ἁγ(ίων) μ(αρτύ)ρ(ων) Φαύστης· Εὐϊλασίου· καὶ Μαξίμου».

Τρεῖς μάρτυρες πάσχουσ(ιν) ἰχθύ(ων) πάθο(ς),
κοινῇ τυχόντες ὀργάνου τοῦ τηγανίου.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Αὕτη ἡ ἁγία Φαῦστα ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ πόλεως Κυζίκου [. . .]
(φ. 212α) Τελ.: [. . .] ἀμφότεροι τὸ(ν) ἀγῶνα διήνυσαν· τελειωθέντες διὰ πυρός.

1. θύη πόλος cod.

ζʹ «Μη(νὶ) τῷ αὐτ(ῷ) ζʹ. Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Παρθενίου ἐπισκόπου Λαμψάκου».

Ἀφῆκε τὸν χοῦν Παρθένιος Λαμψάκῳ
λαμπτῆρα πυρσεύοντ(α) φῶς αὐτῇ μέγα.
Παρθένιος κατέδαρθε[1] λαχ(ὼν) μακρ(ὸν) ἑβδόμῃ ὕπν(ον).

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου· υἱὸς Χριστοφόρου διακόνου [. . .]
(φ. 212β) Τελ.: [. . .] καὶ περὶ τῶν ἐσομένων προειπ(ὼ)ν, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Λουκ(ᾶ) τοῦ ἐν Ἑλλάδι τοῦ Στειριώτη».

Ἔπλησε Λουκᾶς θαυμ(ά)τ(ων) τὴν Ἑλλάδα,
ὃς οὐδὲ νεκρὸς παύεται τῶν θαυμ(ά)τ(ων).

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος τῆς Ἑλλάδος ἐστὶ βλάστημα καὶ ἐντρύφημα· οἱ δὲ τούτου πρόγονοι ἐξ Αἰγίνης ὥρμηντο [. . .]
Τελ.: [. . .] πᾶσι προεῖπε τὴν αὐτοῦ τελευτήν· καὶ οὕτω τῷ τέλει τοῦ βίου ἐχρήσατο.

«Μνήμ(η) τῶν ἁγ(ίων) μαρτ(ύ)ρ(ων) χιλί(ων) ἑκατὸν τρι(ῶν), οἰκετ(ῶν)[2] τῶν τεσσάρων προτικτόρ(ων), ἐν Νικομηδείᾳ παθόντων».

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἰκέται[3] ὑπῆρχον τῶν τεσσάρων, ὑφ' ὧν κατεσχέθη ἐκ προστάγματος βασιλικοῦ [. . .]
(φ. 213α) Τελ.: [. . .] μὴ πεισθέντ(ες) || ἀρνήσασθαι τὸν Χ(ριστό)ν, ὑπὸ τοῦ στρατοῦ κατεκόπησαν ξίφει.

«Οἱ ἅγ(ιοι) ἓξ μάρτ(υ)ρ(ες) πυρὶ τελειοῦντ(αι)».

Μὴ τὴν πυρὸς φρίξαντ(ες) ἰσχὺν ἓξ Φρύγες,
τῇ τῶν Φρυγῶν γῇ πύργος εἰσὶν ἰσχύος.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμῶν Πέτρου τοῦ ἐν Μονοβάτοις ἀγωνισαμ(έν)ου· (καὶ) τοῦ ἁγίου μ(άρτυ)ρ(ος) Θεοπέμπτου (καὶ) τῆς συνοδείας αὐτοῦ».

ηʹ «Μη(νὶ) τῷ αὐτῷ ηʹ. Μνήμ(η) τοῦ ἁγ(ίου) προφήτ(ου) Ζαχαρίου».

Ἵππους ἑώρας τοὺς νόας Ζαχαρία,
δι' ὧν πρὸς ὕψος οὐ(ρα)νῶν ἀφιπτᾶσαι.

Ἀκολουθεῖ συναξάριον τοῦ προφήτου.

Ἀρχ.: Οὗτος ἑρμηνεύεται μνήμη Θ(εο)ῦ· ὃς ἦν ἐκ γένους Ἰ(σρα)ήλ, φυλῆς Λευῒ [. . .]
Τελ.: [. . .] καὶ περὶ διπλῆς κρίσε(ως) ἐξέθετο· καὶ ἕτερα πολλὰ προφητεύσας, ἐκοιμήθη ἐν γήρᾳ μακρῷ.

1. κατέδραθε cod. 2. ἱκετῶν cod. 3. ἱκέται cod.

«Μνήμ(η) τοῦ ἁγ(ίου) μεγαλομ(άρτυ)ρος Θεοδώρου τοῦ Στρατηλάτου».

Ὢν Θεόδωρος ἀξίαν στρατηλάτ(ης),
ὑπῆρξε τμηθεὶς τοῦ Θ(εο)ῦ στρατηλάτ(ης).
Ὄβριμον ὀγδοάτῃ Θεοδώρου αὐχένα κόψαν.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Λικινίου τοῦ βασιλέως· τὸ γένος ἕλκων ἐκ τῶν Εὐχαΐτων [. . .]
(φ. 213β) Τελ.: [. . .] ὕστερο(ν) ἀπεκεφαλίσθη· τὸ δὲ τίμιον αὐτοῦ σῶμα ἀνακομισθέν, ἐτέθη ἐν Εὐχαΐᾳ.

«Οἱ ἅγ(ιοι) Νικηφόρο(ς) (καὶ) Στέφανος ξίφει τελ(ειοῦνται)».

Ξεσθεῖσι Νικηφόρῳ καὶ τῷ Στεφάνῳ,
νικηφόρου στέφανος ἐπλάκη τέλους.

«Αἱ ἅγ(ιαι) Μάρθα (καὶ) Μαρία, αἱ ἀδε(λφ)αί, ξί(φει) τελ(ειοῦνται)».

Ὥσπερ παρῆξεν εἰς τὸ φῶς γαστὴρ μία,
Μάρθαν, Μαρίαν, ἓν στερεῖ φωτὸ(ς) ξίφος.

«Ὁ ὅσιος Λυκαρίων ξί(φει) τελειοῦται».

Ἄφωνος ἥκει πρὸς ξίφος Λυκαρίων,
ἔναντι τοῦ κείραντος οἷον ἀρνίον.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν ἁγίων (Μάρθας, Μαρίας καὶ Λυκαρίωνος).

Ἀρχ.: Αὗται αἱ ἅγιαι, ἀδελφαὶ οὖσαι, καθ' ἑαυτὰς ἔζων παρθενίαν ἀσκοῦσαι [. . .]
Τελ.: [. . .] καὶ ὑπὸ τῶν δημίων ξίφει νυγέντες, τὰς ἑαυτῶν ψυχὰς ἀφῆκαν εἰς χεῖρας Θ(εο)ῦ.

θ′ «Μη(νὶ) τῷ αὐτ(ῷ) θ′. Μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρος Νικηφόρου».

Τὸν ἐκ παλαιοῦ κλητικὸν Νικηφόρο(ν),
τμηθέντα γνῶθι πρακτικὸν νικηφόρ(ον).
Φασγάνῳ ἀμφ' ἐνάτ(ην) Νικηφόρε δειροτομήθης.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος μάρτυς ἦν κατὰ τοὺς χρόνους Οὐαλλεριανοῦ (καὶ) Γαληΐνου τῶν βασιλέων [. . .]
(φ. 214α) Τελ.: [. . .] (καὶ) προστάξει τοῦ τυράννου τ(ὴν) κεφαλὴν ἀπετμήθη.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμῶν Ῥωμανοῦ τοῦ Κίλικος».

Λήθην βαθεῖαν εἶχε καὶ ζῶν τοῦ βίου
Ῥωμανὸς οὗτος, ὃς μετέστη τοῦ βίου.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος Ῥωμανὸς Κίλιξ ὑπάρχων τὸ γένος, ἐκ πόλεως Ῥωσοῦ, ἐν Ἀντιοχείᾳ δὲ τοὺς τῆς ἀρετῆς ὑπεδείξατο ἄθλους [. . .]
Τελ.: [. . .] οὕτω καλῶς ἀγωνισάμ(εν)ο(ς), ἐκοιμήθη ἐν εἰρήνῃ.

«Μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων) Μαρκέλλου ἐπισκόπου Σικελίας, Φιλαγρίου ἐπισκόπου Κύπρου, Παγκρατίου ἐπισκόπου Ταυρομενίου».

Λυθέντες ἄνδρες σαρκικ(ῶν) τρεῖς ἀμμ(ά)τ(ων),
τῶν τῆς Ἐδὲμ μετέσχον ἐντρυφημ(ά)τ(ων).

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι μαθηταὶ ἐγένοντο τοῦ ἁγίου ἀποστόλου Πέτρου· ἔτι τοῦ Χ(ριστο)ῦ περιπατοῦντος σωματικῶς ἐπὶ τῆς γῆς [. . .]
(φ. 214β) Τελ.: [. . .] καὶ πολλοὺς πειρασμοὺς ὑπομείνας ὑπὲρ τῆς ἀληθοῦς πίστεως, πρὸς Θ(εὸ)ν ἐκδημεῖ.

«Ὁ ἅγ(ιος) Πέτρος ὁ Δαμασκηνὸ(ς) ξίφει τελ(ειοῦται)».

Ὁ διελέγξας τοὺς παραπλῆγας Πέτρο(ς)
θνήσκει μονοπλὴξ τῷ διὰ ξίφους τέλ(ει).

ι′ «Μη(νὶ) τῷ αὐτ(ῷ) ι′. Μνήμ(η) τοῦ ἁγίου μ(άρτυ)ρος Χαραλάμπους».

Κατηξιώθης, Χαράλαμπες, ἐκ ξίφους,
καὶ λαμπρότητος[1] καὶ χαρᾶς[2] τ(ῶν) μ(αρτύ)ρ(ων).
Τῇ δεκάτ(ῃ), Χαράλαμπες, ἐὸν τμήθ(ης) ἀπὸ λαιμό(ν).

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος Χαραλάμπης ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Σεβήρου καὶ Λουκιανοῦ ἡγεμονεύοντος ἐν Μαγνησίᾳ πόλει [. . .]
Τελ.: [. . .] ἀνηλεῶς ἀπεκεφάλισεν· εἰ γὰρ καὶ ἰάθη, ἀλλ' ὅμως ἔμεινε τῇ ἀπιστίᾳ.

«Οἱ ἅγ(ιοι) Βάπτο(ς) καὶ Πορφύριος, οἱ τιμωρήσαντες τὸν ἅγιον, ξί(φει) τ(ε)λ(ειοῦνται)».

Πορφύριος καὶ Βάπτο(ς) ἐκ κοινοῦ ξίφ(ους)
ἀθλήσε(ως) βάπτουσι κοινὴν πορφύρ(αν).

«Αἱ ἅγιαι τρ(εῖς) γυναῖκ(ες) ξίφει τελ(ειοῦνται)».

Τὰς τρεῖς γυναῖκας ἀρρενωποὺς μηνύει
ἄρρην ἀριθμός, ὁ τρία, πρὸς τὸ ξίφο(ς).

«Μνήμ(η) τῶν ἁγί(ων) μ(αρτύ)ρ(ων) (καὶ) παρθέν(ων) Ἐνναθά, Οὐαλεντίνης (καὶ) Παύλου».

Εἰς ἀρραβῶνα παρθ(έ)νοις κόραις δύο
ὁ νυμφίος δίδωσι θάρσος πρὸ(ς) φλόγ(α).

Ἐκεῖνος οὗτος Παῦλος ὁ Χ(ριστο)ῦ φίλος,
Χ(ριστο)ῦ πόθῳ τράχηλον ἐκτετμημ(έν)ο(ς).

1. λαμπρότατος cod.
2. χαρὰς cod.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Τούτων ἡ μὲν Ἐνναθὰ τῆς Γαζαί(ων) χώρας ὥρμητο, ἡ δὲ Οὐαλεντῖνα ἐκ τῆς Καισαρέων· Φιρμιλιανοῦ δὲ τοῦ ἡγεμόνος [. . .]
(φ. 215α) Τελ.: [. . .] ὑπερευξάμενος, δέχεται τὴν τομήν, παραθεὶς Θ(ε)ῷ τὸ ἑαυτοῦ πν(εῦμ)α.

«Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀναστασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως».

Ἀναστάσιος τὸν δρόμον τείνων πρόσω,
γῆς ἐξαναστάς, πρὸς τὸν Ὕψιστον τρέχει.

ια´ «Μη(νὶ) τῷ αὐτ(ῷ) ια´. Μνήμ(η) τοῦ ἁγίου ἱερομ(άρτυ)ρ(ος) Βλασίου ἐπισκόπ(ου) Σεβαστείας».

Λαιμὸν Βλάσιος ἐκκοπεὶς διὰ ξίφους,
ἀλγοῦσι λαιμοῖς ῥευμάτων εἴργει βλάβ(ας).
Ἑνδεκάτῃ Βλασίου τάμεν αὐχένα χαλκὸς ἀτειρής.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς χρόνους Λικινίου τοῦ βασιλέως· ἐπίσκοπος Σεβαστείας, οἰκῶν ἔν τινι τῶν κατ' ὄρος σπηλαίων [. . .]
(φ. 215β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγίῳ αὐτοῦ μαρτυρίῳ τῷ ὄντι πλησίον τοῦ ἁγίου ἀποστόλου Φιλίππου ἐν τοῖς Μιλτιάδου.

«Οἱ ἅγιοι δύο παῖδες (καὶ) ζ´ γυναῖκες ξί(φει) τ(ε)λ(ειοῦνται)».

Βαβαὶ τοσαύτ(ης) παιδίων εὐθαρσί(ας),
σπεύδουσιν ἄμφω ποῖον ἐκτμηθ(ῆ) φθάσ(αν)!

Κτείνει γυναῖκας ἑπτὰ σεπτὰς τὸ ξίφος,
οὐ τῇ γυναικῶν συσχεθείσας δειλίᾳ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου Ζαχαρίου τοῦ προφήτ(ου) τοῦ π(ατ)ρ(ὸ)ς τοῦ Προδ(ρό)μ(ου)».

Φανεὶς[1] ὁ νεκρὸς ἐκ γῆθεν Ζαχαρίου,
τοῖς ζῶσι πιστοῖς ἄφθονον βλύζει χάριν.

«Μνήμ(η) Θεοδώρ(ας) τ(ῆς) βασιλίσσ(ης) τ(ῆς) ποιησάσης τὴν ὀρθοδοξίαν».
Ἀκολουθεῖ συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Αὕτη ἐγένετο γυνὴ Θεοφίλου τοῦ βασιλέως καὶ εἰκονομάχου· οὐκ ἦν δὲ αἱρετικὴ [. . .]
Τελ.: [. . .] καταλιποῦσα τὴν βασιλείαν τῷ υἱῷ αὐτῆς Μιχαήλ.

«Ἡ ἐν τῷ κυρίῳ Πάσχα Κυριακὴ τῆς Ὀρθοδοξίας· ὅτε ἡ μνήμ(η) τῆς ἀναστηλώσεως τ(ῶν) ἁγίων εἰκόνων ἑορτάζεται».

(φ. 216α) Τὰς οὐ πρεπόντως ἐξορίστους εἰκόνας
χαίρω πρεπόντως προσκυνουμένας βλέπ(ων).

1. Θανεὶς cod.

ιβ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιβ'. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Μελετίου ἀρχ(ι)επισκόπου Ἀντιοχείας».

Τὰς χεῖρας αἴρων Μελέτιος Κ(υρί)ῳ,
ταῖς χερσί σου τίθημι τὴν ψυχ(ὴν) λέγει.
Δωδεκάτῃ Μελέτιος ἔδυ χθόνα πολ(υ)βότειρ(αν).

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν καὶ τὴν εἰς Χ(ριστὸ)ν καθαρὰν ἀγάπην [. . .]
Τελ.: [. . .] τοῦτον τὸν μακάριον καὶ ὁ τίμιος Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τ(ῆς) ὁσ(ί)ας Μαρί(ας) τῆς μετονομασθείσ(ης) Μαρῖνος».

Στολὴ Μαρῖνον μαρτυρεῖ τ(ὴν) Μαρίαν,
ταφὴ Μαρίαν δεικνύει τὸν Μαρῖνον.

Ἀκολουθεῖ συναξάριον τῆς ὁσίας.

Ἀρχ.: Αὕτη γυναικείαν στολὴν ἀλλαξαμ(έν)η, μετὰ τοῦ ἰδίου π(ατ)ρ(ὸ)ς κατὰ σάρκα Εὐγενίου εἰσῆλθεν ἐν τῷ μοναστηρίῳ [. . .]

(φ. 216β) Τελ.: [. . .] καὶ οἱ μοναχοὶ ἣν πρὸς ὀλίγον ἀθλίαν ἐκάλουν, μακαρισμῶν μεγάλων ἠξίωσ(αν).

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀντωνίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως».

Οὐδέν τι προσσχὼν[1] Ἀντώνιος τοῖς κάτω,
καλῶν δικαίως ἠξιώθη τῶν ἄνω.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος τὸ γένος ἕλκων τὸ μὲν Ἀσίας, τὸ δὲ Εὐρώπης, ἡ δὲ τρίτη π(ατ)ρὶς ἦν αὐτῷ ἡ βασιλὶς τῶν πόλεων [. . .]

(φ. 217α) Τελ.: [. . .] ἐν γήρᾳ βαθεῖ πρὸς Κ(ύριο)ν ἐξεδήμησε· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ αὐτοῦ μονῇ.

«Οἱ ἅγ(ιοι) Σατορνῖνος καὶ Πλουτῖνος ξί(φει) τε(λειοῦνται)».

Θνησιμαῖα ταῦτα τ(ῶν) τετμημ(ένων),
Σατορνίνου πέφυκε (καὶ) τοῦ Πλουτίνου.

ιγ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιγ'. Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμῶν Μαρτινιανοῦ».

Μαρτινιανὸς σαρκικὴν σβέσ(ας) φλόγα,
φεύγει τελευτῶν μὴ τελευτῶσ(αν) φλόγα.
Ἐν τριτάτῃ δεκάτῃ δέμας ἐξέδυ Μαρτινιανό(ς).

1. προσχὼν cod.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος γέγονεν ἀπὸ Καισαρείας τ(ῆς) κατὰ Παλαιστίνην· ἀπήρξατο δὲ τῆς ἀσκητικῆς ἀγωγῆς [. . .]
(φ. 217β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου [. . .] Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

«Μνήμ(η) τῶν ἁγ(ίων) ἀποστόλων (καὶ) μ(αρτύ)ρ(ων) Ἀκύλα καὶ Πρισκίλλης».

Τμηθὲν γύναιον Ἀκύλ(ας) φησὶ βλέπ(ων),
οὐκ ἀνδριοῦμαι πρὸς τομ(ὴν) ἀνὴρ κάρ(ας);

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Ὁ ἅγιος Ἀκύλας σκυτοτόμος ἦν τὴν τέχνην· καὶ περὶ τοῦ ἁγίου ἀποστόλου Παύλου ἀκούσας [. . .]
(φ. 218α) Τελ.: [. . .] καὶ οὕτω μεταστάντες τῶν ἐπὶ γῆς, κατοικοῦσι τοὺς οὐ(ρα)νούς.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Εὐλογίου ἀρχιεπισκόπου Ἀλεξανδρείας».

Ψυχὴν δίδωσιν Εὐλόγιος Κ(υρί)ῳ,
βοῶν πρὸς αὐτήν, Κ(ύριο)ν σὸν εὐλόγει.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ἡρακλείου ἀρχιεπίσκοπος Ἀλεξανδρείας [. . .]
Τελ.: [. . .] οὗτος τῷ Θ(ε)ῷ εὐχαριστήσας, εἰς χεῖρας αὐτοῦ τὴ(ν) ψυχὴν ἐναπέθετο.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) π(ατ)ὴρ καὶ υἱὸς στ(αυ)ρωθεὶς τε(λειοῦνται)».

Π(ατ)ὴρ σὺν υἱῷ στ(αυ)ρικὸν πάσχει πάθος,
ὑπὲρ π(ατ)ρ(ὸ)ς τοῦ δόντος υἱὸν εἰς πάθος.

ιδʹ «Μη(νὶ) τῷ αὐτ(ῷ) ιδʹ. Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Αὐξεντίου τοῦ ἐν τῷ βουνῷ».

Ὁ βουνὸς ὡς Κάρμηλος ἦν Αὐξεντίῳ,
φανέντι[1] πάλαι πλὴν τελευτῆς Ἠλίᾳ.
Λεῖψε βίον δεκάτ(η) Αὐξέντιο(ς) ἠδὲ τετάρτῃ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ· ὁρμώμενος τῶν ἀμφ' ἡλίου ἀνατολῶν [. . .]
(φ. 218β) Τελ.: [. . .] τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τ(ῶν) Καλλιστράτου.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Μάρωνος».

Φύσει μαρανθεὶς σαρκίου θάλλει Μάρω(ν),
μετεμφυτευθεὶς τῆς Ἐδὲμ τῷ χωρίῳ.

1. Θανέντι cod.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος τὸν ὕπαιθρον ἀσπασάμ(εν)ο(ς) βίον, κορυφήν τινα ὄρους κατέλαβεν [. . .]
Τελ.: [. . .] καὶ ἀρρωστίαν βραχεῖαν ὑπομείνας, ὑπεξῆλθε τὸν βίον ἐν εἰρή(νῃ).

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀβράμου».

Πράξει τὸ ταυτὸν εὗρε κλήσει τὸ πλέον,
πρὸς τὸν σύνοικον Ἀβραὰμ Ἀβραάμης.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, ἐκ πόλεως Κύρου· ἐν ᾗ καὶ τεχθεὶς καὶ τραφεὶς [. . .]
(φ. 219α) Τελ.: [. . .] μετὰ τιμῆς ὅτι πλείστης[1] παρέπεμψεν.

ιε' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιε'. Τοῦ ἁγίου μ(άρτυ)ρ(ος) Ὀνησίμου, μαθητοῦ τοῦ ἁγ(ίου) ἀποστόλ(ου) Παύλ(ου)».

Ἤπλωσεν Ὀνήσιμος εἰς θλάσιν σκέλη,
Παύλου σκελ(ῶν) δραμόντα γενναίους δρόμους.
Πέμπτῃ Ὀνησίμου σκέλεα θραῦσ(αν) δεκάτῃ τε.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος οἰκέτης ὑπῆρχε Φιλήμονος, ἀνδρὸς Ῥωμαίου [. . .]
Τελ.: [. . .] εἶτα τὰ σκέλη κατεάξας, τῆς προσκαίρου ζωῆς μεθιστᾷ.

«Ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Μαΐωρ αἰκιζόμ(εν)ο(ς) τελειοῦται».

Μάστιξι πλησθεὶς τὰς ψόας ἐμπαιγμ(ά)τ(ων),
Δα(βὶ)δ τὸ ῥητὸν φάσκε μάρτυς Μαΐωρ.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Εὐσεβίου».

Ἀνθρώπινον παρῆλθεν ἀσμένως βίον
Εὐσέβιος τὸ θαῦμα καὶ τῶν ἀγγέλων.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος ὅθεν ἦν καὶ ἐκ τίνων ἔφυ γονέων, ἡ κατ' αὐτὸν ἱστορία οὐκ ἐδήλωσεν [. . .]
(φ. 219β) Τελ.: [. . .] ἀσθενείᾳ περιπεσὼν δυσδιηγήτῳ, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Παφνουτίου (καὶ) Εὐφροσύνης τ(ῆς) αὐτοῦ θυγατρό(ς)· καὶ ἡ σύναξις ἐν τοῖς Διακονίσσης τοῦ ἁγ(ίου) [. . .] Ἰω(άννου) τοῦ Θεολόγου.

ις' «Μη(νὶ) τῷ αὐτ(ῷ) ις'. Μνήμ(η) τ(ῶν) ἁγί(ων) μ(αρτύ)ρ(ων) Παμφίλου· Οὐάλεντο(ς)· Παύλου· Σελεύκου· Πορφυρίου· Ἰουλιανοῦ· Θεοδούλου· Ἠλία· Ἱερεμίου· Ἠσαΐου· Σαμουὴλ καὶ Δανιήλ».

Ὑπὲρ τὸ πᾶν σε Πάμφιλο(ς) φιλῶν λόγε,
καὶ τὴν τομὴν ἡγεῖτο τῆς κάρας φίλ(ην).

1. πλείσταις cod.

Παῦλον Σέλευκος· (καὶ) Σέλευκον Οὐάλ(ης),
βλέπων τομῇ χαίροντ(α), τὴν τομὴν φέρει.

Ἥλαντο πρὸς πῦρ μάρτυρ(ες) θεῖοι δύο,
θείου πόθου πῦρ ἔν τρέφοντ(ες) οἱ δύο.

Στ(αυ)ροῦσι δοῦλοι τῆς πλάνης ἐπὶ ξύλου
καὶ Θεόδουλον δοῦλον ἐστ(αυ)ρωμένου.

Κλήσεις προφητ(ῶν) (καὶ) τελευτὰς μαρτύρ(ων)
αὐχοῦσι πέντε μάρτυρες τετμημ(ένοι).

Ἕκτῃ (καὶ) δεκάτῃ ξίφους τάμε Πάμφιλον ἀκμή.

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι οἱ ἔνδοξοι μάρτυρες, ἐν τῷ ἕκτῳ ἔτει τοῦ κατὰ Διοκλητιανὸν διωγμοῦ, εἰς τὸ μαρτύριον ἤχθησαν [. . .]
(φ. 220α) Τελ.: [. . .] ὁ δὲ Θεόδουλος ἐπὶ ξύλου στ(αυ)ρωθείς, διήνυσε τὸ μαρτύριον· τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

«Μνήμ(η) τ(ῶν) ἁγ(ίων) μ(αρτύ)ρ(ων) τ(ῶν) ἐν Μαρτυροπόλ(ει)· (καὶ) τοῦ ὁσίου Μαρουθᾶ, τοῦ ἀνεγείραντο(ς) τὴν πόλ(ιν) ἐπ' ὀνόμ(α)τ(ι) τ(ῶν) μ(αρτύ)ρ(ων)».

Ἡ κλῆσις ἔργον μαρτυρωνύμῳ πόλει,
πολλῶν ἐν αὐτῇ μαρτυρησάντ(ων) ξίφει.

Στέρξας Μαρουθᾶς τ(ὸν) Θ(εὸ)ν σφόδρα σφόδρα,
Θ(ε)ῷ παραστὰς τέρπεται σφόδρα σφόδρα.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος Μαρουθᾶς ἐπίσκοπο(ς) γέγονεν· ἀπεστάλη δὲ παρὰ Θεοδοσίου τοῦ μεγάλου [. . .]
Τελ.: [. . .] ὅθεν καὶ ἡ αὐτοῦ μνήμ(η) συμπανηγυρίζεται τοῖς μάρτυσιν.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Φλαβιανοῦ».

Ζωῆς ματαίας ἐκπεραιώσας χρόνον,
ζῇ Φλαβιανὸς εἰς τὸν αἰῶνα χρόνον.

ιζ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιζ'. Μνήμ(η) τοῦ ἁγ(ίου) μεγ(α)λομ(άρτυ)ρ(ος) Θεοδώρου τοῦ Τήρωνος».

Τήρων ὁ δηλῶν ἀρτίλεκτον ὁπλίτην,
Θ(ε)ῷ πρόσεισιν ἀρτίκαυστος ὁπλίτης.
Ἑβδομάτ(η) δεκάτῃ πυρὶ Τήρωνα φλεγ<έθ>ουσιν.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ὁ ἅγιος μάρτυς κατὰ τοὺς χρόνους ἦν Μαξιμιανοῦ καὶ Μαξιμίνου τῶν βασιλέων, ὁρμώμενος ἐκ τῆς μ(ητ)ροπόλεως Ἀμασείας [. . .]
(φ. 220β) Τελ.: [. . .] ὅτε καὶ τὸ θαῦμα γέγονε παρ' αὐτοῦ τῶν κολλύβων· ῥυσαμένου τὸν ὀρθόδοξον λαὸν ἐκ τῆς μεμιασμένης βρώσεως τ(ῶν) εἰδωλοθύτων.

«Στ(ί)χ(οι) εἰς τ(ὰ) κόλλυβα».

Τροφῇ κολλύβων ἑστιᾷ Τήρων πόλιν,
τροφὴν προθεὶς ἄπρακτον ἠλισγημ(έν)ην.

«Μνήμ(η) τ(ῆς) ἁγ(ίας) Μαριάμν(ης), ἀδελφ(ῆς) τοῦ ἁγ(ίου) Φιλίππου».

Ἀφεῖσα τὴν γῆν Μαριάμνη παρθ(έ)νος,
τὸν ἐκ Μαρίας παρθένου Χ(ριστὸ)ν βλέπει.

Ἀκολουθεῖ συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Μετὰ τὴν ἀνάληψιν τοῦ Χ(ριστο)ῦ παραγενόμενος ὁ ἅγιος Φίλιππος [. . .]
Τελ.: [. . .] καὶ πολλοὺς βαπτίσασα, ἐτελειώθη ἐν εἰρήνῃ.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Αὐξιβίου».

Τὸν Αὐξίβιον οὐ παρόψεται λόγος,
(φ. 221α) φανέντα ληξίβιον ἐξ ἐναντίου.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμῶν Θεοστηρίκτου· (καὶ) ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγ(ίου) Μηνᾶ τοῦ καλλικελάδου».

Τὴν γῆν ὀρύξας ὡς δικέλλῃ τῷ λόγῳ,
Μηνᾶν ἐκεῖθεν ἐκφέρω κεκρυμμ(έν)ον.

Ἀκολουθεῖ σχετικὸν συναξάριον.

Ἀρχ.: Ἐπὶ τῆς βασιλείας τοῦ φιλοχρίστου βασιλέως Κωνσταντίνου, ὁ μακάριος Μηνᾶς μιᾷ τῶν νοητῶν ἐπιστὰς [. . .]
Τελ.: [. . .] ὅθεν καὶ τῷ Θ(ε)ῷ εὐχαριστίαν πανδημεὶ ἐξέπεμψαν.

«Μνήμ(η) τῶν ἐν εὐσεβεῖ τῇ μνήμ(ῃ) γενομ(έ)ν(ων) βασιλέων Μαρκιανοῦ (καὶ) Πουλχερί(ας)· τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ».

ιη′ «Μη(νὶ) τῷ αὐτ(ῷ) ιη′. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Λέοντο(ς) πάπ(α) Ῥώμ(ης)».

Ψυχὴν ὁ θεῖος ἐξερεύγεται Λέων,
καὶ δαιμόνων φάλαγξιν ἐμβάλλει φόβον.
Ὀγδοάτῃ δεκάτῃ τ(ε) Λέων ἐρεύξατο θυμόν.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὁ θαυμάσιος π(ατ)ὴρ ἡμῶν Λέων, διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ σωφροσύνην καὶ καθαρότητα [. . .]
(φ. 221β) Τελ.: [. . .] καὶ ὡς φωστὴρ ταῖς ἀρεταῖς διαλάμψας, ἐν βαθεῖ γήρᾳ πρὸς Κ(ύριο)ν ἐξεδήμησεν· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

«Μνήμ(η) τῶν ἁγ(ίων) μ(αρτύ)ρ(ων) Λέοντο(ς) κ(αὶ) Παρηγορίου, ἀθλησάντ(ων) ἐν Πατάροις τ(ῆς) Λυκί(ας)».

Παρηγόριος σάρκα δοὺς εἰς αἰκίας,
ἔχει παρηγόρημα τὰ στέφη μέγα.

Ἕλκων ἄνωθεν ἰσχὺν ἐκ Θ(εο)ῦ Λέων,
ἕλξεις βιαίας ὡς λέων ἐκαρτέρει.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀγαπητοῦ ἐπισκόπ(ου) Σιναοῦ τοῦ ὁμολογητοῦ (καὶ) θαυματουργοῦ».

Ὃν ἠγάπησας Ἀγαπητὲ δεσπότην,
οὗτος καλεῖ σε πρὸς τόπους οὓς ἠγάπ(ας).

Ἀκολουθεῖ (φφ. 221β - 222β) συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐκ Καππαδοκίας ἕλκω(ν) τὸ γένος καὶ χριστιανῶν γονέων υἱὸς [. . .]
(φ. 222β) Τελ.: [. . .] καὶ λόγῳ μόνῳ ἀνίατα νοσήματα θεραπεύσας, καὶ πλήρης ἡμερῶν γενόμενος, ἀνεπαύσατο ἐν Κ(υρί)ῳ.

ιθ' «Μη(νὶ) τῷ αὐτ(ῷ) ιθ'. Μνήμ(η) τ(ῶν) ἁγ(ίων) Μαξίμου· Θεοδότου· Ἡσυχίου (καὶ) Ἀσκληπιοδότης».

Ἀνδρῶν τριῶν σύναθλο(ς) ἀσθενεστάτη,
ἀνδρίζεταί σοι καὶ τομῆς τριὰς μέχρι.

Ἔστεψε Χ(ριστὸ)ς τὴν Ἀσκληπιοδότην,
ἧς ἐξέκοψε τὴν κεφαλὴν τὸ ξίφος.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτοι παραστάντες τῷ ἄρχοντι καὶ μὴ πεισθέντες, πολλαῖς αἰκίαις ὑπεβλήθησαν [. . .]
Τελ.: [. . .] καὶ ἐν ἀλσώδεσι τόποις συρέντες, ξίφει τε(λειοῦνται).

«Μνήμ(η) τοῦ ὁσίου Ῥαβουλᾶ».
Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Ὁ ἐν ἁγίοις π(ατ)ὴρ ἡμῶν Ῥαβουλᾶς ἐν τῇ πόλει Σαμοσατέων γεννᾶται [. . .]
(φ. 223α) Τελ.: [. . .] καὶ μικρὸν νοσήσας, ἀπῆλθε πρὸς Κ(ύριο)ν.

«Τῇ αὐτῇ ἡμέρᾳ μνήμ(η) τῶν ὁσί(ων) π(ατέ)ρων ἡμ(ῶν) κ(αὶ) ὁμολογητ(ῶν) Μακαρίου καὶ Εὐγενίου».

Πρὸ τοῦ θανεῖν ἀντλοῦσι δεινὰ μυρία
Εὐγένιός τε καὶ Μακάριος ἅμα.

Ἀκολουθεῖ συναξάριον τῶν ὁσίων.

Ἀρχ.: Ἰουλιανοῦ κατὰ συγχώρησιν Θ(εο)ῦ βασιλεύσ(αν)τος ἐν Βυζ(αν)τίῳ, οἱ χριστιανοὶ πάντες περιέκρυβον ἑαυτοὺς [. . .]
(φ. 223β) Τελ.: [. . .] μετέστησεν ἀμφοτέρους· δοξάζοντας καὶ εὐλογοῦντας αὐτόν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶν(ας) ἀ(μήν).

κ' «Τῷ αὐτ(ῷ) μ(η)ν(ὶ) κ'. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Λέοντος ἐπισκόπ(ου) Κατάνης» [πρβλ. καὶ φ. 225α-β τοῦ κώδικος].

Ὁ μὲν νεκρὸς Λέοντος, εἰ δ' οἵου πύθη[1],
πάντως ἐροῦμεν, τοῦ προέδρου Κατάνης.
Εἰκάδ(ι) Λέ(ων) θάνε πρόβολος Κατάνης θεῖος.

1. πάθη cod.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἄρχ.: Οὗτος ὁ ἅγιος ἐκ Ραβέννης τὸ γένος εἷλκεν· εὐγενῶν καὶ θεοσεβῶν γονέων ὑπάρχων υἱὸς [. . .]
Τελ.: [. . .] οὕτως οὖν βιοὺς (καὶ) οὕτω πολιτευσάμ(εν)ος, πρὸς Κ(ύριο)ν ἐξεδήμησ(εν).

«Μνήμ(η) τ(ῶν) ἁγί(ων) ἀποστ(ό)λ(ων) Ἀρχίππου· Φιλήμονος κ(αὶ) Ἀμφίας».

Ποθῶν τ(ὸν) ἀκρόγωνον Ἄρχιππος λίθον,
κατηκολούθει τῷ πόθῳ τούτου λίθοις.

Χώραν φιλοῦντα τ(ὸν) Φιλήμονα χλόης,
χλωροῖς λύγοις τύπτουσιν ἠκανθωμένοις[1].

Ἡπλωμένην παίουσιν εἰς γῆν Ἀμφίαν,
(φ. 224α) εἰς οὐ(ρα)νοὺς ἔχουσαν ὄμμα καρδίας.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν μαρτύρων.

Ἄρχ.: Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλεί(ας) Νέρωνος· μαθηταὶ χρηματίσαντες Παύλου τοῦ ἀποστόλου [. . .]
Τελ.: [. . .] ὁ δὲ ἅγιος Φιλήμων καὶ Ἀμφία διαφόρ(ως) βασανισθέντες, τέλει τοῦ βίου ἐχρήσαντο.

«Μνήμ(η) τοῦ ἁγίου ἱερομ(άρτυ)ρ(ος) Σαδὼκ ἐπισκόπ(ου)· (καὶ) τ(ῶν) σὺν αὐτ(ῷ) τελειωθέντων τὸν ἀριθμὸν ρκ'».

Φέρει σὺν αὐτῷ[2] κ(αὶ) Σαδὼκ ἐπισκόπ(ῳ)
ἡ δωδεκαπλῆ μαρτύρ(ων) δεκὰς ξίφο(ς).

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμῶν Βησσαρίωνος».

Πολλῶν ἱδρώτων (καὶ) πόνων Βησσαρί(ων),
πολλὰς θανὼν εὕρηκεν ἀντιμισθί(ας).

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἄρχ.: Οὗτος ἐγεννήθη σαρκικῶς ἐν Αἰγύπτῳ· ἀπογαλακτισθέντος δὲ αὐτοῦ καὶ τοῖς ἱεροῖς γράμμασ(ιν) ἐκπαιδευθέντος [. . .]
(φ. 224β) Τελ.: [. . .] καὶ ἐν γήρᾳ πίονι τὸ(ν) Θ(εὸ)ν θεραπεύσας, ἀπῆλθε πρὸς τ(ὰς) αἰωνίους μονάς.

«Μνήμ(η) τοῦ ἐν ἁγί(οις) π(ατ)ρ(ὸ)ς ἡμ()ῶν) Ἀγάθωνος πάπ(α) Ῥώμ(ης)».

Ῥώμης Ἀγάθων οἴακας διευθύνας,
πρύμναν ἐκρούσω[3] πρὸς νοητὸν λιμ(έν)α.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

Ἄρχ.: Καὶ οὗτος ὁ ὅσιος π(ατ)ὴρ ἡμῶν καὶ θαυματουργὸς Ἀγάθων ἐκ τῆς Ἰταλίας ἐγένετο [. . .]

1. ἠκανθωμένως cod.
2. ὀκτὼ cod.
3. ἐγκρούσω cod.

(φ. 225α) Τελ.: [. . .] (καὶ) καλῶς διαπρέψας ἐν τῷ ἐπισκοπι<κ>ῷ ἀξιώματι πρὸ(ς) Κ(ύριο)ν ἐξεδήμησεν.

κα' «Μη(νὶ) τῷ αὐτ(ῷ) κα'. Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Τιμοθέου τοῦ ἐν συμβόλοις».

Καὶ ζῶντα Τιμόθεε (καὶ) τεθνηκότα,
τιμᾷ Θ(εὸ)ς ζώντων σε καὶ τεθνηκότ(ων).
Εἰκάδι Τιμόθεον πρώτ(η) κατὰ σῆμα κάλυψ(εν).

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος ἐξ ἁπαλῶν ὀνύχων τὸν μονήρη βίον ὑποδὺς (καὶ) δι' ἐγκρατείας πολλῆς [. . .]
Τελ.: [. . .] οὕτω βιώσας, ἐν γήρᾳ μακρῷ πρὸ(ς) Κ(ύριο)ν ἐξεδήμησ(εν).

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) καὶ θαυματουργ(οῦ) Λέοντος ἐπισκόπου Κατάνης» [πρβλ. καὶ φ. 223β τοῦ κώδικος].

Ὁ μὲν νεκρὸς Λέοντος, εἰ δ' οἵου πύθῃ,
πάντως ἐροῦμ(εν), τοῦ προέδρου Κατάν(ης).

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ἅγιος ἐκ Ῥαβέννης ἕλκων τὸ γένος, εὐγενῶν καὶ εὐσεβῶν γονέω(ν) ὑπάρχων γέννημα [. . .]
(φ. 225β) Τελ.: [. . .] ἀλλὰ καὶ τῇ γῇ παραδοθείς, πλείονα ἐκτελεῖ καθ' ἑκάστην θαύματα.

«Τῇ αὐτ(ῇ) ἡ(μ)έρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας».

Ἀρχ.: Οὗτος ἦν ἐπὶ Κωνσταντίνου τοῦ πρώτου ἐν βασιλεῦσι χριστιανοῦ· τῆς ὀρθοδοξίας τὰς ἀκτῖνας λόγῳ σοφί(ας) [. . .]
(φ. 226α) Τελ.: [. . .] ὑπὸ γάρ τινος Εὐσταθίου χαλκέως συμφθαρέντος αὐτῇ γεννηθῆναι τὸ βρέφος ἔφη.

«Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Γεωργ(ίου) ἐπισκόπ(ου) Ἀμάστριδος».

Ὁ Γεώργιος (καὶ) λιπὼν τὸ σαρκίον,
πολλοῖς γεωργεῖ ψυχικὴν σ(ωτη)ρίαν.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος εὐσεβῶν ἔφυ γονέων, Θεοδώρου καὶ Μεγεθοῦς προσαγορευομένων [. . .]
Τελ.: [. . .] οὕτω καλῶς τὸ(ν) βίον περάνας, τῶν τῇδε μετέστη· ἐν εἰρήνῃ τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ ἀποδούς.

«Ὁ ἅγ(ιος) Ἰω(άννης) π(ατ)ριάρχ(ης) Κωνσταντινουπόλ(εως) ὁ ἀπὸ σχολαστικῶν ἐν εἰρήνῃ τελειοῦται».

Χ(ριστο)ῦ τέθνηκας ὁ σχολαστικὸς θύτης,
καὶ τῶν μακρῶν σου νῦν σχολ(ὴν) ἄγεις πόν(ων).

(φ. 226β) «Ὁ ἅγ(ιος) ⟨Ζ⟩αχαρί(ας) π(ατ)ριάρχ(ης) Ἱεροσολύμ(ων) ἐν εἰρήνῃ τελειοῦτ(αι)».

Μακάριος εἶ καὶ θανὼν Ζαχαρία,
Ζαχαρία πρόεδρε γῆς μακαρίας.

κβ´ «Μη(νὶ) τῷ αὐτ(ῷ) κβ´. Ἡ μνήμ(η) τῶν εὑρεθέντ(ων) λειψάν(ων) τῶν ἁγ(ίων) μαρτύρων τῶν ἐν τοῖς Εὐγενίου, ἅτινα εὑρέθησ(αν) ἐν τ(οῖς) χρόν(οις) Ἀρκαδίου».

Φανέντες ἐκ γῆς μάρτυρες κεκρυμμ(έν)οι,
αἴρουσι πᾶσαν ἐκ προσώπου γ(ῆς) βλάβ(ην).

Ἀκολουθεῖ σύντομον συναξάριον.

Ἀρχ.: Θωμᾶ τοῦ ἁγιωτάτου τὸν θρόνον ἰθύνοντος Κωνσταντινουπόλε(ως), εὑρέθησαν τὰ ἅγια λείψανα κείμ(εν)α ὑπὸ γῆν [. . .]
Τελ.: [. . .] ὧν ὁ θεῖος ἀπόστολος Παῦλος μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ.

«Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) (καὶ) ὁμολογητοῦ Ἀθανασίου τοῦ ἐν τῷ Παυλοπετρίου».

Ἀθανάσιος[1] θρέμμα Παυλοπετρίου,
ἀποστόλοις σύνεστι Παύλῳ (καὶ) Πέτρῳ.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος ἐγεννήθη ἐν Κωνσταντινουπόλει, γονέων εὐλαβῶν ὑπάρχω(ν) (καὶ) θεοσεβῶν· καὶ πλουσίων πάνυ [. . .]
Τελ.: [. . .] καὶ τὴν ὀρθόδοξον πίστιν μέχρι τέλους διατηρήσας, πρὸς Κ(ύριο)ν χαίρων ἐξεδήμησ(εν).

«Ἡ ἁγ(ία) Ἄνθουσα (καὶ) οἱ ιβ´ αὐτ(ῆς) οἰκέται ξί(φει) τε(λειοῦνται)».

Εὔνους ἐφεῦρες Ἄνθουσα τοὺς οἰκέτ(ας),
ξίφει θανοῦσα[2], συνθανόντας[3] σοι ξίφει.

«Ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Συνετὸς ξίφει τελειοῦτ(αι)».

Ψάλλει Συνετὸς (καὶ) καταθνήσκων ξί(φει),
βλέπων ἀσυνετοῦντας ἐξετηκόμ(ην).

«Μνήμ(η) τῶν ὁσί(ων) π(ατέ)ρων ἡμ(ῶν) Θαλασσίου (καὶ) Λιμναίου».

Λιμὴν Λιμναῖον (καὶ) Θαλάσσιον φέρει,
ὥσπερ θάλασσαν ἐκφυγόντ(ας) τὸν βίο(ν).

Ἀκολουθεῖ συναξάριον τῶν ὁσίων.

Ἀρχ.: Τούτων ὁ μὲν Θαλάσσιος ἐν ὄρει τινὶ τὸ ἀσκητικὸν ἐπήξατο καταγώγιον [. . .]
(φ. 227α) Τελ.: [. . .] ὑπαίθριος βιούς, ἐν εἰρήνῃ τὸ πν(εῦμ)α τῷ Κ(υρί)ῳ παρέθετο.

---

1. Ἀθανάσιον cod.
2. θανούσῃ cod. 3. συνθανόντα cod.

«Μνήμ(η) τοῦ ἁγ(ίου) ἱερομάρτυρος Μαυρικίου καὶ τῶν σὺν αὐτῷ ο' μαρτύρ(ων)».

Ἀκολουθεῖ συναξάριον τῶν μαρτύρων.

Ἀρχ.: Οὗτος ὑπῆρχε σὺν αὐτοῖς ἐν τοῖς χρόνοις Μαξιμιανοῦ· διερχομ(έν)ου οὖν αὐτοῦ ἐκ τῆς Ἀπαμέων πόλε(ως) [. . .]
(φ. 227β) Τελ.: [. . .] καὶ ταλαιπωρίᾳ προσκαρτερήσαντες καὶ τῷ Θ(ε)ῷ προσευξάμ(εν)οι, ἐν εἰρήνῃ ἐτελειώθησαν.

«Μνήμ(η) τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Βαραδάτου».

Ἐν γῇ νεκρώσας ὡς λέγει Παῦλος μέλη,
ζωῆς μετέσχεν ἐν πόλῳ Βαραδάτος.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος πόλεως μὲν ἦν Ἀντιοχείας· τὸν φιλόσοφον δὲ καὶ ἐρημικὸν ἀσπασάμενος βίον [. . .]
Τελ.: [. . .] οὓς καὶ πρὸ(ς) Θ(εὸ)ν ἐκδημήσας, ἀναμένει λήψεσθαι.

κγ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κγ'. Τοῦ ἁγ(ίου) ἱερομ(άρτυ)ρος Πολυκάρπ(ου) ἐπισκόπ(ου) Σμύρν(ης)».

Σοὶ Πολύκαρπος ὡλοκαυτώθη λόγε,
καρπὸν πολὺν δοὺς ἐκ πυρὸ(ς) ξενοτρόπ(ως).
Εἰκάδι τῇ τριτάτῃ κ(α)τ(ὰ) φλὸξ Πολύκαρπ(ον) ἔκαυσε.

Ἀκολουθεῖ συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἐμαθητεύθη τῷ Θεολόγῳ Ἰω(άννῃ) (καὶ) εὐαγγελιστῇ σὺν Ἰγνατίῳ τῷ θεοφόρῳ [. . .]
(φ. 228α) Τελ.: [. . .] καὶ πάλιν τούτ(ου) τὴν ἀμετρίαν ἀνέστειλε· τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

«Μνήμ(η) τ(ῶ)ν ὁσί(ων) π(ατέ)ρων ἡμ(ῶν) Ἰω(άννου)· Μωυσέως· Ἀντιόχου· καὶ Ἀντωνίνου».

Σύνταγμα τετράριθμον ἀνδρ(ῶν) τιμί(ων)
συντάσσεταί σοι καὶ μεθίσταται βίου.

Ἀκολουθεῖ συναξάριον τῶν ὁσίων.

Ἀρχ.: Τούτων ὁ μὲν ὅσιος Ἰω(άννης) γνώριμος (καὶ) φοιτητὴς γέγονε Λιμναίου [. . .]
(φ. 228β) Τελ.: [. . .] τοσοῦτον ἀπώναντο τ(ῆς) βιοτῆς καὶ ἀσκήσεως τοῦ θείου Ἰωάννου.

«Ἡ ἁγ(ία) Γοργονία, ἡ ἀδελφὴ τοῦ ἁγ(ίου) Γρηγ(ο)ρ(ίου) τοῦ Θεολόγου, ἐν εἰρήνῃ τελειοῦται».

Τιμῶ τελευτὴν σὴν σιγῇ[1], Γοργονία,
Γρηγορίου μέλψαντος αὐτὴν ἐκ λόγων.

1. σιγὴν cod.

«Μνήμ(η) τῶν ὁσί(ων) π(ατέ)ρων ἡμῶν· Ζεβινᾶ· Πολυχρονίου· Μωσέως· (καὶ) Δαμιανοῦ».

Ὁ θεῖος Ζεβινᾶς λῆξιν εἰς θείαν φθάνει,
λήξαντος αὐτῷ τοῦ παρ' ἀν(θρώπ)οις βίου.

Πολυχρόνιος καὶ συνασκηταὶ δύο,
οἱ τρεῖς ὁμοῦ πληροῦσι τοὺς ζωῆς χρόνους.

Ἀκολουθεῖ συναξάριον τῶν ὁσίων.

Ἀρχ.: Τούτων ὁ μὲν θεῖος Ζεβινᾶς ἐν ὄρει τινὶ τὸ ἀσκητικὸν ἐπήξατο καταγώγιον [. . .]
Τελ.: [. . .] τοσαύτην ὠφέλειαν ἐκ τῆς τοῦ Πολυχρονίου συναυλίας οὗτοι εὕραντο ὁσίως πολιτευσάμενοι.

κδ' «Μη(νὶ) τῷ αὐτ(ῷ) κδ'. Ἡ εὕρε(σις) τῆς τιμί(ας) κεφαλῆς τοῦ ἁγ(ίου) Ἰω(άννου) προφήτου Προδρόμ(ου) καὶ βαπτιστοῦ».

Ἐκ γῆς προφαίνει Πρόδρομο(ς) σεπτ(ὴν) κάραν,
(φ. 229α) καρποὺς ἀξίους διδάσκων ποιεῖν πάλαι.

«Συνέφθασε καὶ ἡ βα εὕρεσις».

Ὁ βαπτίσας πρὶν ὑδάτ(ων) πηγαῖς ὄχλους,
γῆθεν φανείς, βάπτιζε πηγαῖς θαυμ(ά)τ(ων).
Εἰκοστὴν Προδρόμοιο φάνη κάρη ἀμφὶ τετάρτην.

Ἀκολουθεῖ σχετικὸν συναξάριον.

Ἀρχ.: Ἡ τιμία αὕτη καὶ ἀγγέλοις αἰδέσιμος κεφαλὴ πρῶτον μὲν εὑρέθη [. . .]
Τελ.: [. . .] καὶ παρὰ τοῦ ἐπισκόπου Οὐρανίου εἰσήχθη ἐν τῇ ἐκκλησίᾳ, ἰάσεις καὶ θαύματα ἐνεργήσασα.

κε' «Τῷ αὐτ(ῷ) μη(νὶ) κε' ἡμέρ(ᾳ). Μνήμ(η) τοῦ ἐν ἁγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ταρασίου ἀρχ(ι)επισκόπ(ου) Κωνσταντ(ι)ν(ου)π(ό)λ(εως)».

Ἄκλυστος ὅρμος Ταράσιον λαμβάνει,
κόσμου ταραχῆς καὶ ζάλης σεσωσμένον.
Εἰκάδι ἐκ ταράχοιο Ταράσιος ἔπτατο πέμπτῃ.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος τὴν τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων προσκύνησιν ἐδογμάτισε [. . .]
Τελ.: [. . .] οὐδὲ γὰρ παντελῶς ἦν πολιός· ἡ δὲ σύναξις αὐτοῦ τελεῖται ἐν τῇ ἁγιωτάτῃ μ(ε)γ(ά)λ(ῃ) ἐκκλη(σίᾳ).

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) Ἀλέξανδρος ξίφει τελ(ειοῦ)τ(αι)».

Τὸν Ἀλέξανδρον δίσκος εἷλεν ἡλίου,
ὑπὲρ Χ(ριστο)ῦ τμηθέντα, δόξης ἡλίου.

«Ὁ ἅγ(ιος) Ῥηγῖνος ἐπίσκοπ(ος) Σκοπέλων ξίφει τ(ε)λ(ειοῦται)».

Ἄσειστος, εἶ, Ῥηγῖνε[1], τὴν προθυμίαν,
κἂν δεινῶν ἐσείσθησαν[2] πυκνά σοι ξίφη.

1. Ῥηγῖνος cod.
2. εἰσώθησαν cod.

'Ακολουθεῖ σύντομον συναξάριον τοῦ ἁγίου.

"Αρχ.: Οὗτος ἦν μαθητὴς τοῦ ἁγίου 'Αχιλλίου, ἐπισκόπου Λαρίσσης τῆς ἐν 'Ελλάδι [. . .]
Τελ.: [. . .] ἔσχατον παρὰ τῶν ἀθέ(ων) αἱρετικῶν ἀναιρεῖται.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἐν ἁγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) 'Υπατίου, ἐπισκόπου Γαγγρ(ῶν) τοῦ ὁμολογητοῦ».

Κτείνει γυνὴ βαλοῦσα καιρίως[1] λίθῳ
τὸν 'Υπάτιον· φεῦ γυναικὸς ἀθλίας!

'Ακολουθεῖ συναξάριον τοῦ ἁγίου.

"Αρχ.: Οὗτος ἦν ἐκ Γαλατίας, παρῆν δὲ καὶ ἐν τῇ πρώτῃ συνόδῳ τῶν τιη' θεοφόρ(ων) π(ατέ)ρων εἷς ὢν [. . .]
(φ. 230α) Τελ.: [. . .] καὶ ἕτερα πολλὰ θαύματα γεγόνασιν ἐν τῇ καταθέσει αὐτοῦ, εἰς δόξαν [. . .] νῦν καὶ ἀεί.

«'Ο ἅγ(ιος) 'Αντώνιος πυρὶ τελ(ειοῦ)τ(αι)».

'Ενθ(έν)τες 'Αντώνιον εἰς πῦρ οἱ πλάνοι,
ἕψουσιν ὄψον νόστιμον τῷ Κ(υρί)ῳ.

«'Ο ἅγ(ιος) Θεόδωρος ὁ διὰ Χ(ριστὸ)ν σαλός».

'Εκὼν ἀμείψας ὡς ὁ Δα(βὶ)δ τὰς φρέν(ας),
βίον διέδρας οὐ τὸν ἀγχοῦ[2] παμμάκαρ.

«'Ο ἅγ(ιος) ἱερομάρτ(υς) Μάρκελλος, ἐπίσκοπ(ος) 'Απαμεί(ας) τῆς Κύπρου, ξίφει τελειοῦται».

Σπένδεις[3] Θ(ε)ῷ Μάρκελλε θερμῷ τῷ πόθῳ,
θερμῶν σταλαγμοὺς αἱμάτων ἐξ αὐχένος.

'Ακολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

"Αρχ.: Οὗτος ὁ ἅγιος προσαχθεὶς τῷ τῆς νήσου ἄρχοντι [. . .]
Τελ.: [. . .] λίθοις ὀξέσι συνθλάττεται καὶ οὕτω τὴν κεφαλὴν ἀφαιρεῖται.

«'Η ἐν τῷ κ(υρί)ῳ Πάσχ(α) Κυρ(ιακὴ) γ' τῶν νηστειῶν· ἡ προσκύνησις τοῦ τιμίου στ(αυ)ροῦ».

Τὸν στ(αυ)ρὸν ἡ σύμπασα προσκυνησάτω,
δι' οὗπερ ἔγνωκε σὲ προσκυνεῖν λόγε.

κς' «Τῷ αὐτ(ῷ) μη(νὶ) κς'. Μνήμ(η) τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Πορφυρίου ἐπισκόπου Γάζης».

"Ω, τίς παρέλθῃ, τίς δὲ καὶ παραδράμῃ,
τὸν Πορφύριον κἂν παρῆλθεν ἐκ βίου;
Πορφύροιο νέκυν ἔκρυψαν χθόν' εἰκάδ(ι) ἕκτῃ.

1. βαλοῦσα καιρίως: λλαβοῦσα καιρίαν cod.
2. ἀγχοὺς cod.
3. σπένδων cod.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ἦν ἐκ τῆς Θεσσαλονικέ(ων) πόλε(ως), υἱὸς ὑπάρχων εὐγενῶν καὶ πλουσίων γονέων [. . .]
(φ. 230β) Τελ.: [. . .] διαπρέψας οὖν ἐν τῇ ἀρχιερωσύνῃ [. . .] πρὸς Κ(ύριο)ν ἐξεδήμησ(εν).

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τῆς ἁγ(ίας) μ(άρτυ)ρ(ος) Φωτεινῆς τῆς Σαμαρείτιδος· ᾗ καὶ ὡμίλησεν ὁ Χ(ριστὸ)ς ἐν τῷ φρέατι· (καὶ) τ(ῶν) σὺν αὐτῇ».

Ὕδωρ λαβεῖν ἐλθοῦσα τὸ φθαρτ(ὸν) γύναι,
τὸ ζῶν ἀπαντλεῖς δι[1] ῥύπους ψυχῆς πλύνει.

Ἀκολουθεῖ (φφ. 230β - 233α) συναξάριον τῆς ἁγίας.

Ἀρχ.: Ἐν ταῖς ἡμέραις Νέρωνος τοῦ βασιλέ(ως), ἦν ἡ ἁγία ἐν Καρθαγένῃ κηρύττουσα τὸν Χ(ριστὸ)ν [. . .]
(φ. 235α) Τελ.: [. . .] ὑμνοῦσα καὶ εὐλογοῦσα τὸν Θ(εό)ν, εἰς χεῖρ(ας) αὐτοῦ τὴν ψυχὴν παρατίθεται.

Ῥίπτουσι τὴν σὴν Σαμαρεῖτιν εἰς φρέαρ,
τὴν εἰς φρέαρ σοι συλλαλήσασαν λόγε.

«Ἡ ἁγία Φωτὼ ἡ ἀδε(λφ)ὴ τῆς ἁγ(ίας) Φωτεινῆς ξίφει τελειοῦται».

Φερνὴν ταλάντων μυρίων ἀνταξί(αν)
Φωτὼ φέρει σοι τὴν κάραν, φώτων π(άτ)ερ.

«Ἡ ἁγ(ία) Φωτὶς ἡ ἑτ(έ)ρ(α) ἀδε(λφ)ὴ αὐτ(ῆς) ξίφει τελ(ειοῦται)».

Δώσεις ἔπαθλον δενδροάθλῳ Φωτίδι,
δενδρῶνα τερπνὸν τῆς Ἐδὲμ Θ(εο)ῦ λόγε.

«Ἡ ἁγ(ία) Παρασκευὴ ἡ ἑτέρ(α) ἀδε(λφ)ὴ αὐτῆς ξίφει τ(ε)λ(ειοῦται)».

Ἡ Παρασκευὴ πρὸς ξίφος τὸν αὐχένα,
ἕτοιμον εἶχε καὶ παρεσκευασμένον.

«Ἡ ἁγ(ία) Κυριακὴ ἡ ἑτ(έ)ρ(α) ἀδε(λφ)ὴ αὐτῆς ξίφει τ(ε)λ(ειοῦται)».

Ἐκ Κυριακῆς οὐδὲ τοῦ ξίφους φόβος
τοῦ Κ(υρίο)υ τὸν θεῖον ἐκβάλλει[2] φόβον.

«Ὁ ἅγ(ιος) Ἰωσῆς ὁ υἱὸς αὐτ(ῆς) ξίφει τελειοῦτ(αι)».

Τομεὺς τραχήλων ἐξεγύμνου τὸ ξίφος,
Ἰωσῆ δὲ τράχηλος οὐ φρίττει ξίφος.

«Ὁ ἅγ(ιος) Φωτεινὸς ὁ ἕτερ(ος) υἱὸς αὐτ(ῆς) ξίφει τ(ε)λ(ειοῦται)».

Τίς οὗτος ἀτμὸς ἐκ ξίφους τῶν αἱμ(ά)τ(ων),
Φωτεινὸς ἄρτι μάρτυς ἐτμήθη κάραν.

---

1. ὦ cod.
2. ἐμβάλει cod.

«Ὁ ἅγ(ιος) Σεβαστιανὸς ὁ δοὺξ ξίφει τελ(ειοῦται)».

Σεβαστιανῷ τοῦτον εἴπω τὸν λόγον,
σεβάζομαί σε τὴν κάραν τετμημένον.

«Ὁ ἅγ(ιος) Βίκτωρ ὁ υἱὸς ὁ πρῶτος τῆς ἁγ(ίας) ξίφει τ(ε)λ(ειοῦται)».

Βίκτωρ ἐπ' ὤμοις τὴν κεφαλ(ὴν) οὐκ ἔχ(ων),
κεῖται πρὸ τῆς γῆς ἐκταθεὶς ἐκ τοῦ ξίφους.

«Ὁ ἅγ(ιος) Θεόκλητος ὁ μάγος ξίφει τελειοῦτ(αι)».

Κλῆσις διδάσκει, σὺ τίς καὶ τίνος δοῦλος,
σπάθη δὲ Θεόκλητε[1] ποῖον τὸ τέλος.

κζ' «Τῷ αὐτ(ῷ) μη(νὶ) κζ'. Μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Προκοπίου τοῦ Δεκαπολίτου».

Οὐδὲν Δεκαπολῖτα γῆς πᾶσαι πόλεις,
πρὸς τὴν νοητὴν ἔνθαπερ τάττῃ πόλιν.
Εἰκάδι ἑβδομάτῃ Προκοπίῳ τέρμα φάνθη.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

(φ. 233β) Ἀρχ.: Οὗτος πρότερον μὲν τὸν μονήρη βίον ὑπελθὼν [. . .]
Τελ.: [. . .] πολλὰς θαυματουργίας ἐνδειξάμ(εν)ος, καὶ οὕτω πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Γελάσιος, ὃς τὸ ἅγιον βάπτισμα κελευσθεὶς παῖξαι, βαπτίζεται ἀληθῶς καὶ ξίφει τελειοῦτ(αι)».

Φώτισμα μέλλ(ων) ἐκγελᾶν γελᾷς πλάνην,
πλυθεὶς δὲ Γελάσιε τέμνῃ τὴν κάραν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Βασιλείου συναθλητοῦ τοῦ ἁγ(ίου) Προκοπίου».

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ εἰκονομάχου τοῦ ἐξ Ἰσαυρίας· καταλιπὼν δὲ τὸν κόσμον καὶ τὰ ἐγκόσμια [. . .]
Τελ.: [. . .] πρὸς τὸν Θ(εὸ)ν ὃν ἐπόθησε χαίρων ἐξεδήμησεν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ὁσ(ί)ου π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Θαλελαίου».

Ὁ Θαλέλαιος φαιδρὸς ἥκει πρὸς πόλον,
θαλλοῖς ἐλαιῶν ἀρεταῖς ἐστεμμένος.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος Κίλιξ ἦν τὸ γένος· τὴν ἀσκητικὴν δὲ πολιτείαν ἀγαπήσας [. . .]
Τελ.: [. . .] θεαρέστως οὖν ἐν αὐτῷ βιώσας ἔτη ι', ἐν εἰρή(νῃ) ἐκοιμήθ(η).

1. Θεόκλητον cod.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ὅσ(ιος) Στέφανος, ὁ συστησάμενος τὸ γηροκομεῖον τοῦ Ἀρματίου (καὶ) τοῦ Σίγματος, ἐν εἰρήνῃ τελειοῦται».

Γήρει Στέφανος πρύτανις ζωῆς πόρου,
ὅνπερ θανόντα πρύτανις ζωῆς στέφει.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ὁ ὅσιος πολλῶν ὀρφανῶν π(ατ)ὴρ γέγονεν· πούς χωλῶν, στηριγμὸ(ς) ἀδυνάτων [. . .]
Τελ.: [. . .] οὕτως οὖν βιοὺς καὶ οὕτω πολιτευσάμ(εν)ος, πρὸς Κ(ύριο)ν ἐξεδήμησεν.

«Ὁ ἅγ(ιος) Νήσιος βουνεύρ(οις) τυπτόμ(εν)ος τελ(ειοῦται)».

Νεύροις βοείοις Νήσιος πάσχ(ων) φέρει,
νευρούμενος γὰρ τῶν πόνων λήθην ἔχει.

κη' «Τῷ αὐτ(ῷ) μη(νὶ) κη'. Μνήμ(η) τοῦ ἐν ἁγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμῶν Προτερίου ἀρχ(ι)επισκόπ(ου) Ἀλεξανδρείας».

Ὁ Προτέριος σφάττεται τοῖς καλάμοις,
ὀξυγράφου [γρ. ὀξυγράφος] κάλαμος ὢν κατὰ πλάνης.
Εἰκάδ(ι) ὀγδοάτῃ σφάξαν καλάμοις Προτέριον.

Ἀκολουθεῖ συναξάριον τοῦ ἁγίου.

Ἀρχ.: Οὗτος ὁ μακάριος πρεσβύτερος ἦν ἐν τῇ ἐκκλησίᾳ Ἀλεξανδρείας [. . .]
(φ. 234β) Τελ.: [. . .] χειροτονηθῆναι Ἀλεξανδρείας ἐπίσκοπον παρεκελεύσατο· καὶ οὕτως ἡ στάσις πέρας εἴληφε.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) μνήμ(η) τοῦ ἁγ(ίου) μ(άρτυ)ρ(ος) Νέστορος».

Οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος ἐν ξύλῳ
Νέστωρ ἁπλωθείς, τὸ προφητικ(ὸν) φάναι.

Ἀκολουθεῖ σύντομον συναξάριον τοῦ μάρτυρος.

Ἀρχ.: Οὗτος ἦν κατὰ τοὺς καιροὺς Δεκίου τοῦ βασιλέως καὶ Ποπλίου ἡγεμόνος ἐκ Πέργης [. . .]
Τελ.: [. . .] καὶ τοὺς πιστοὺς ἐπιστηρίζ(ων), τὸ πν(εῦμ)α τῷ Θ(ε)ῷ παρέδωκεν.

«Τῇ αὐτ(ῇ) ἡμέρ(α) μνήμ(η) τῶν ὁσ(ίων) γυναικ(ῶν) Κύρ(ας) κ(αὶ) Μαράν(ας)».

Καταξιοῦνται Μαράνα τε καὶ Κύρα
σαρκὸς μαρασμῷ κυριεύειν τοῦ πόλου.

Ἀκολουθεῖ σύντομον συναξάριον τῶν ὁσίων.

Ἀρχ.: Ταύταις πατρὶς μὲν ἡ πρὸς ἕω κειμένη Βέρροια· γένους ἐπισήμου [. . .]
Τελ.: [. . .] καὶ καλῶς τὸ λοιπὸν τῆς ζωῆς αὐτῶν διανύσασαι, πρὸς Κ(ύριο)ν ἐξεδήμησαν.

«Οἱ ἐξ Αἰγύπτου ἓξ μάρτυρες ξίφει τελειοῦντ(αι)».

Ξίφει θανεῖν ἔγραψαν ἓξ Αἰγυπτίους
οἱ τοῦ χρόνου γράψαντες ἄθλους κ(αὶ) βίους.

«Οἱ ἅγ(ιοι) ἀπόστ(ο)λ(οι) Νυφὰς κ(αὶ) Εὔβουλ(ος) ἐν εἰρή(νῃ) τ(ε)λ(ειοῦνται)».

Χ(ριστο)ῦ φυτεία χρισ<τ>απόστολοι δύο,
Χ(ριστ)ῷ σύνεισιν Εὔβουλος, Νυφὰς ἅμα.

«Ὁ ὅσ(ιος) Βάρσος, ἐπίσκοπ(ος) Δαμασκοῦ ἐν εἰρή(νῃ) ⟨τελειοῦται⟩».

Πανήγυριν ῥέοντος ἐκλιπὼν βίου,
σύνεσ<τ>ι Βάρσος ἀγγέλων πανηγύρει.

«Ὅτ(αν) ἔχῃ ὁ μὴν κη' λέγετ(αι) (καὶ) τὸ συναξάριον τοῦ ἁγ(ίου) Κασιανοῦ ἐδῶ. Ὅταν (δὲ) ἔνι βίσεκτος, ἔχει κθ' (καὶ) λέγετ(αι) εἰς τ(ὴν) αὔριον ἡμέραν, ἤγουν τ(ὴν) εἰκοστὴν ἐνάτην».

κθ' «Τῷ αὐτ(ῷ) μη(νὶ) κθ'. Μνήμ(η) τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμῶν Κασιανοῦ τοῦ Ῥωμαίου».

Θείους μεταστὰς Κασιανὸς πρὸς νό(ας),
θείας νοητῶς κασί(ας) ἀποπνέει.
Κασιανὸς θάνε εἰκάδ(ι) ἐνάτ(ῃ) ἐν βισέκτῳ.

Ἀκολουθεῖ συναξάριον τοῦ ὁσίου.

Ἀρχ.: Οὗτος ἦν ἐκ τῆς Ῥώμης· περιφανῶν καὶ λαμπρῶν γονέων ὑπάρχων υἱὸς [. . .] (φ. 235α) Τελ.: [. . .] καὶ οὕτω πολιτευσάμενος πρὸς τὰς ἐκεῖθ(εν) μετέστη σκηνάς.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ὁ ἅγ(ιος) μ(ά)ρ(τυς) Ἀβρίκιος ξίφει τ(ε)λ(ειοῦται)».

Χ(ριστο)ῦ λατρευτής, αὐχένα τμηθεὶς ξίφει,
θεῶν λατρευτὰς Ἀβρίκιος αἰσχύνει.

«Τῇ αὐτ(ῇ) ἡμέρ(ᾳ) ἡ ἐν τῷ κ(υρί)ῳ Πάσχα δ' τ(ῆς) μεγ(άλης) μ' [=τεσσαρακοστῆς]· ἡ προσκύνησις τοῦ τιμίου στ(αυ)ροῦ».

Τῆς νηστίμου φθάσαντες οἱ πιστοὶ μέσ(ον),
σὲ στ(αυ)ρὲ προσκυνοῦμ(εν) οὗ Χ(ριστὸ)ς μέσον.

«Ταῖς αὐτῶν πρεσ(βείαις) ὁ Θ(εὸ)ς ἐλε(ήσει) (καὶ) σώσει ἡμ(ᾶς)».

3 (φφ. 235β - 241β) «† Βίος κ(αὶ) πολιτεία τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμ(ῶν) Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ» (BHG 188).

Ἀρχ.: Οἱ τῶν ἀρίστων ἀνδρῶν ἀνάγραπτοι βίοι, καὶ τοῖς παλαιοῖς μὲν ἀναγκαῖοι ὑπῆρχον· διὰ τὸ ἐκ τούτων τοῖς ἀν(θρώπ)οις προσγινόμενον ὄφελος [. . .]
Τελ. (φ. 241β) : [. . .] ὅπως ἤρεμον καὶ γαλήνιον τὸν τῆς παροικί(ας) ἡμῶν χρόνον βιώσαντες, ἵλεον καὶ εὐμενῆ τὸν κριτὴν εὕρωμ(εν) ἐν ἡμέρα τῇ φοβερᾷ τῆς δίκης [. . .] ἀμήν.

Ὁ κῶδιξ γεγραμμένος κατὰ δύο σελίδας (=στήλας).

— Α'. Τὸ κύριον σῶμα τοῦ κώδικος γεγραμμένον ὑπὸ τῆς αὐτῆς χειρὸς (ΙΔ' αἰ.). Γραφὴ στρογγυλόσχημος, ἐπιμελημένη, σταθερὰ καὶ εὐανάγνωστος, ἐμπείρου βιβλιογράφου. Ὀρθογραφικὰ σφάλματα πολὺ ὀλίγα. Διαστάσεις γεγραμμένης ἐπιφανείας τῶν φύλλων 0,210×0,155. Στίχοι 30 - 31. Βραχυγραφίαι καὶ ἐπιτμήσεις ὀλίγαι καὶ ἐκ τῶν συνήθων. Ἐπίτιτλα, τίτλοι καὶ ἀρχικὰ κεφαλαῖα

γράμματα ἐρυθρόγραφα, τὰ ὁποῖα πολλαχοῦ ἔχουν καταστῇ ἐξίτηλα καὶ δυσδιάγνωστα.

— Β' Δι' ἑτέρας χειρός, τοῦ ἔτους 1465/6, τὰ ἀντικατασταθέντα κατεστραμμένα φύλλα τοῦ κώδικος καὶ ἐκ νέου γραφέντα, ἤτοι τά: 33, 41, 42, 89, 133, 134, 146, 167, 207, 223, 229, 230, 232-241 καὶ μικρὰ μόνον συμπληρωματικὰ τμήματα τῶν φύλλων 208-210. Ὁ γραφεὺς οὗτος ἔχει ἀνανεώσει εἰς ὡρισμένα σημεῖα τοῦ κώδικος τὰς ἐρυθρογραφίας τοῦ α' γραφέως (φφ. 217β-222β, 224α-226β). Γραφὴ σταθερὰ καὶ εὐανάγνωστος, οὐχὶ ὅμως καλλιγραφικὴ ὡς ἡ τοῦ α' γραφέως. Ὀρθογραφικὰ σφάλματα πολὺ ὀλίγα. Διαστάσεις γεγραμμένης ἐπιφανείας τῶν φύλλων αἱ αὐταὶ (ὡς καὶ εἰς τὸν προηγούμενον γραφέα). Στίχοι 39. Βραχυγραφίαι καὶ ἐπιτμήσεις ὀλίγαι καὶ ἐκ τῶν συνήθων. Ἐπίτιτλα, τίτλοι καὶ ἀρχικὰ κεφαλαῖα γράμματα ἐρυθρόγραφα.

— Γ'. Διὰ τρίτης, τέλος, χειρὸς (ΙΕ'/ΙϚ' αἰ.) τὰ φύλλα 1-10. Ἐκ τούτων μόνον τὰ 1-5 γεγραμμένα κατὰ δύο σελίδας. Γραφὴ σταθερὰ καὶ εὐανάγνωστος. Ὀρθογραφικὰ σφάλματα ὀλίγα. Διαστάσεις γεγραμμένης ἐπιφανείας τῶν φύλλων ὡς καὶ εἰς τοὺς προηγουμένους γραφεῖς. Στίχοι 30.

Ὁ κῶδιξ ἀπαρτίζεται ἐκ κθ' φυλλαδίων καὶ ἑνὸς εἰσέτι (πενταδίου), ἐκ τῶν ὑστέρων προστεθέντος, εἰς τὴν ἀρχὴν τοῦ κώδικος (φφ. 1-10). Ἐκ τούτων τὰ ὑπ' ἀριθ. ιζ', κζ' καὶ κη' εἶναι τριάδια (πεντάφυλλον τὸ πρῶτον, ἑξάφυλλα τὰ δύο ἄλλα), τὸ ις' εἶναι πεντάδιον (ἐννεάφυλλον ἀρχῆθεν), ἐνῷ τὸ κθ' εἶναι ἑξάδιον (δωδεκάφυλλον), μετὰ τὸ ὁποῖον ἀκολουθεῖ ἓν δίφυλλον (φφ. 240 - 241). Πάντα τὰ λοιπὰ εἶναι τετράδια κανονικὰ ὀκτάφυλλα (πλὴν τοῦ δ', τὸ ὁποῖον εἶναι ἑπτάφυλλον). Ἀρίθμησιν φέρουν σήμερον μόνον τὰ τετράδια γ', ζ', θ', ια' καὶ ιδ'. Αἱ ἐνδείξεις αὗται, διὰ χειρὸς τοῦ γραφέως τοῦ κώδικος, εἰς τὸ κάτω ὁριζόντιον περιθώριον τοῦ πρώτου φύλλου ἑκάστου τετραδίου (φφ. 27α, 58α, 74α, 90α καὶ 114α, ἀντιστοίχως). Πιθανώτατα, αἱ ἐλλείπουσαι ἐνδείξεις τῶν ἄλλων φυλλαδίων ἀπεκόπησαν κατὰ τὴν στάχωσιν τοῦ κώδικος.

